£15

Rare edition.

cloth-backed boards

with label

La fable ésopique ἡ ὗς, à l'adresse des Agrigentins περὶ τυράννων, dit Élien, hist. div. X, 5, ne se trouve pas dans ce recueil. Elle manque également dans la Συναγωγή de Coray.

ΜΥΘΟΙ ΑΙΣΩΠΕΙΟΙ.

FABVLAE AESOPIAE

E

CODICE AVGVSTANO

NVNC PRIMVM EDITAE

CVM

FABVLIS BABRII CHOLIAMBICIS

COLLECTIS OMNIBVS

ET

MENANDRI SENTENTIIS SINGVLARIBVS

ALIQVOT ETIAM INEDITIS.

RECENSVIT ET EMENDAVIT

IO. GOTTLOB SCHNEIDER

SAXO.

VRATISLAVIAE

SVMTIBVS LIBRARIAE IO. FRID. KORNII

1812.

VIRIS DOCTISSIMIS

AMICORVM PARI SINE PARE

IOANNI CASPARI FRIDERICO

MANSO

PHILOS. DOCTORI GYMNASII ELISABETHANI

RECTORI ET PROFESSORI

ET

FRIDERICO IACOBS

CONSILIARIO REGIO

ACADEMIAE MONACENSIS SODALI

BIBLIOTHECAE DVCALI GOTHANAE PRAEFECTO

LIBELLVM HVNC

AMICITIAE ET REVERENTIAE SVAE

TESTEM

D. D. D.

EDITOR.

Accipe, quaeso, amicissime Manso, eo et vultu et animo, quo soles familiares Tuos excipere, munusculum hoc, quod debebam humanitati C. G. Lessingii, cuius ego in notitiam domi Tuae primum veni, quique me munere Fabularum Aesopiarum, e reliquiis egregii fratris depromto, tanquam benevolentiae suae pignore, beavit. Interim ad plures abiit vir humanissimus, nobisque sui memoriam acerbissimam reliquit, quam tamen inter nos sancte colemus omnes, qui viri ingenium animumque candidissimum noscere et admirari potuimus. Adjeci Fabulis Aesopiis alia quaedam, quae ingenium Tuum omni litterarum antiquarum et recentiorum genere philosophiaeque

studiis excultum delectare possint: quibus ut diutissime viribus corporis integris frui, favoremque Tuum et amicitiam mihi porro exhibere velis, etiam atque etiam a Te peto.

Tibi vero, doctissime Iacobs, reduci in patriam, post satis diuturnam maris importuni jactationem, recuperatam in portu Larium domesticorum quietem et tranquillitatem gratulor, quam maiore jam cum voluptate Musis et publico litterarum bono impendes. Deus ut Tibi diuturnam otii honestissimi usuram largiri velit, ex animo opto, mihique ut porro faveas, oro Te atque obsecro. Ita valete.

PRAEFATIO.

Socratem refert Plato in carcere detentum ab Atheniensibus, animum ut oblectaret, Aesopeas fabulas, quas meminisset tum, versibus inclusas composuisse. Hoc exemplum deinde plures secuti fabulas, quae vulgo Aesopo adscriptae ferebantur, et quas ipsi ingenium Phrygis aemulati excogitaverant, vario metri genere reddere et condere conati sunt: inter quos fuit ante Augusti Caesaris aevum, quem solum hodie testimonio Iuliani Imperatoris Epist. 59, Apollonii et Suidae Grammaticorum cognitum habemus, Babrius, poeta Graecus. Alium non nominatum fabularum Aesopearum hexametris inclusarum scriptorem excerpsit Suidas. Horum unum alterumque posterioribus seculis prosaica oratione aemulati reddere conati sunt scriptores plures vel adolescentes, qui puerili disciplinae fabellas adjuncta admonitione accommodare, vel ingenium et stilum varianda oratione exercere vellent. Ita enim Quinctilianus Instit. 1, 9. *Adjiciamus*, inquit, *eorum curae quaedam*

dicendi primordia, quibus aetates nondum rhetorem capientes instituant. Igitur Aesopi fabellas, quae fabulis nutricularum proxime succedunt, narrare sermone puro et nihil se supra modum extollente, deinde eandem gracilitatem stilo exigere condiscant: versus primo solvere, mox mutatis verbis interpretari, tum paraphrasi audacius vertere, qua et breviare quaedam et exornare, salvo modo poetae sensu, permittitur. Quod opus, etiam consummatis professoribus difficile, qui commode tractaverit, cuicunque discendo sufficiet.

Factum id etiam tempore labentis Graecitatis testantur collectiones fabularum Aesopearum, quas Accursius, Rob. Stephanus, Neveletus, Rochefort, Matthaei, Tyrwhitt, et Fr. de Furia excussis bibliothecarum variarum libris scriptis publicarunt: quibus nunc accedunt Codicis Augustani fabulae a doctissimo I. I. Reiskio olim exscriptae. Tanta inest in hac farragine varietas et compositionis et dictionis, et tam valde singulae eiusdem argumenti fabulae inter se discrepant, ut ex uno omnes exemplo imitando ductas et expressas esse credere non liceat. Plurimas tamen e choliambis Babrii in prosaicam orationem translatas, et pro seculi more et interpretis

ingenio varie tractatas, paulatimque labe seculorum barbarorum infectas deformatasque fuisse post Bentleium diligentissime Tyrwhittus demonstravit. Is enim sagaciter investigavit libros tum scriptos tum editos, in quibus fabulae scriptae inventionis et orationis Babrianae tenorem et colorem servasse reperiuntur. Quibus accesserunt nuper aliquot fabulae ipsis Babrii verbis redditae, quas e codicibus scriptis Vaticanae bibliothecae exscriptas, inscius egregii ἑρμαίου, Franc. de Furia Florentiae publicavit, mox in metra sua redegit egregius Adam. Coray, qui fabularum Aesopearum exempla graece scripta pleraque omnia in corpus unum collecta, emendata atque aucta nuper prodidit, ita ut et viri docti atque adolescentes habeant, in quo ingenium et criticam artem exercere, hi vero tum inventionis tum orationis varia genera pernoscere et aestimare discant. Pertinent ad operam meam maxime Fabulae e Codice Florentino publicatae, quas Montefalconii judicio confisus editor tales praedicavit in elogio libri, quales ante Planudem ferebantur, ut inventionis atque orationis elegantiam commendaret. Insunt sane aliquot exempla orationis atque inventionis emendatioris, quam in fabulis Accursianis, quas Planudi monacho adscribere

viri docti solent: concinunt aliae fere ad verbum cum Neveletianis et nostris e libro Augustano exscriptis: multae tamen, verbis aliquot probis Babrianae vel antiquioris dictionis servatis, ineptis interpretationibus interpolatae, et semibarbara dictione contaminatae et conspurcatae inveniuntur. Contra liber Augustanus majorem fere ubique et inventionis et orationis antiquitatem prae se fert: cujus praestantiam jam olim praedicaverat vir in hoc genere poeseos ipse et auctor probatissimus et judex intelligentissimus, G. Ephr. Lessing in Symbolis litterariis depromtis e bibliotheca Guelferbytana I. p. 72. Is enim apographum libri nactus a Io. Iac. Reiskio fabulas cum editis a Neveleto et Hudsono comparaverat. Hoc exemplum cum appositis viri ingeniosissimi annotationibus post mortem ejus pervenit ad fratrem doctissimum, monetae Silesiacae Vratislaviae praefectum, Car. Gotthilf Lessingium, qui mihi librum, benevolentiae et amicitiae recens contractae pignus, liberaliter oblatum concessit. Aliud apographum, factum a Georg. Fr. Beneke, asservatumque in Bibliotheca Goettingensi, tractavit Imm. G. Huschke, qui fabulas aliquot novi argumenti primus inde publicavit codicemque ipsum descripsit in

Dissertatione de Fabulis Archilochi, inserta Miscellaneis Philologicis Augusti Matthiae, Altenburgi 1805. I. p. 9. seqq. unde repetitas corpori fabularum Aesopearum graecarum doctissimus amicissimusque Coray inseruit. Iam antea Codicem Augustanum tractaverat, eumque accurate descripsit Io. Mich. Heusinger in Praefatione ad Iuliani Caesares Gothae anno 1736 editos et in Dissert. de Aesopi fabulis no. 4. Idem deinde in Praefatione ad repetitam Hudsonianae Collectionis editionem, factam Isenaci 1756 et recognitam ibidem anno 1776, haec de Codice Augustano pronunciavit: *Operae tamen pretium faciet, quicunque posthac totius codicis hujus, qui non eruditos tantum sed acres acutosque oculos postulat, describendi molestiam devorabit.* Filius ejus inde descripserat Fabulas tres, nobis numero 77, 180 et 222 signatas, quarum mediam, brevissimam omnium et insulsissimam, in Praefatione appositam neglexit vel oblitus est Gallus egregius CORAY, qui duas alteras recepit in Corpus Fabularum Aesopiarum. Insignem scripturae varietatem in media non mirabitur, qui Heusingeri patris verba de difficili Codicis scriptura consideraverit.

In Babrii Choliambis, quos e Codicibus Vaticanis cum Fabulis Aesopiis Florentinis

publicavit Franc. de Furia, reconcinnandis adjuvit me BVTTMANNI mei et doctissimi NIEBVHRII ingenium, quibus debetur quicquid a me bene administratum aequi judices probabunt. Fabulae Babrianae quae non seorsum positae sunt, earum fere lacera tantum fragmenta supersunt, quae collecta e Tyrwhitti collectione et aucta ad suam quaeque fabulam in annotationibus apposui, quae mihi e Babrio excerpta aut ab eodem tractata fuisse videbatur. Eodem consilio Fabulis Augustanis in titulo apposui notitiam collectionum diversarum, ubi eadem fabula verbis diversis fuit narrata. N. significat Neveleti Collectionem, H. Hudsonianam ab Hauptmanno et Heusingero repetitam, Sy. vel S. Syntipae Fabulas a Christiano Matthaei editas, Fl. Florentinas a Fr. de Furia publicatas. COR. significat collectionem omnium Aesopiarum Fabularum graecarum ab egregio AD. CORAY publicatam.

De Auctario MENANDRI Sententiarum singularium ne mireris, lector, breviter narrabo, qui factum sit, ut eas fabulis Aesopiis comites dare non dubitarem. Cum Augustanis Fabulis mihi e reliquiis fraternis dederat Lessingius utendas schedas, quas a I. FR. HEVSINGERO conscriptas esse suspicor.

Huic Codicem Guelferbytanum perlustrandum et cum editis Menandri fragmentis comparandum tradiderat magnus LESSINGIVS, tum Bibliothecae Guelferbytanae praefectus. Notitiam Codicis vir doctus hanc posuit: „Est inter Gudianos numero 59 signatus, chartaceus, foliis 10 constans, quorum in singulis paginis versus 12 aut 13 perscripti leguntur manu satis elegante. Non plures ibi sunt versus quam 217. Titulus in primo folio habet *Τοῦ Μαινάνδρου γνώμαι.* In altero est *Μαινάνδρου Γνῶμαι.* Alia vel temporis vel loci nota non adest.“ Hoc codice jam olim usus I. A. Fabricius Bibliothecae Gr. libri II. c. 22. scripserat: *Pleraque Monosticha, quae apud Grotium sine nomine leguntur, ad Menandrum referenda esse, intellexi e collectione sententiarum Menandri Alphabetica, quam manu exaratam evolvi in Bibliotheca Gudiana.* Ad quem locum Harlesius annotavit, eadem narrari in Actis Eruditorum Lipsiens. anni 1710 p. 113. Sed idem Fabricius libri II. c. 11. p. 742. novae editionis inter collectores sententiarum comicorum nominat *Hieronymum Spartanum* in libello MSS. cui titulus: *Ἐκ τῶν Μενάνδρου γνῶμαι μονόστιχοι, quem sine nomine auctoris evolvere me memini in bibliotheca Gudiana.* Ad quem locum anno-

tatio Harlesii memorat e Codice Vindobonensi CCXLIV no. 13. teste Lambecio in Comment. et Tom. V. p. 237. ed. Kollarii titulum: *Γνῶμαι μονόστιχοι Μενάνδρου.*

Desiderio meo librum Vindobonensem comparandi humanissime satisfecit opera viri doctissimi B. Kopitar, Bibliothecae Imperialis Scriptoris, cujus nomen et ingenium edita anno 1808 Linguae Slavorum Grammatica et cum graeca comparatione inclaruit. Praeter Codicem enim Lambecii no. 244. Nesselii 277. 4to. fol. 65. 66. comparavit etiam alterum in eadem bibliotheca repositum, a Lambecio inter Codices Theologicos graecos numero 320, a Nesselio 128 signatum. Ille inscriptum habet *Γνῶμαι μονόστιχοι Μενάνδρου,* sed imperfectus desinit in littera *O* nec ullum scribae nomen subscriptum habet. Versus sunt in eo omnes ex ordine litterarum alphabeti scripti 438. Alter inscriptum habet: *Ἀρχὴ Μενάνδρου τοῦ σοφοῦ παραινέσεις κατὰ στοιχεῖον.* Multo brevior, pergit tamen per omnes litteras usque ad extremam: continet versus 197: neque ullum scribae vel collectoris nomen subscriptum aut praescriptum habet. Itaque miror, unde Fabricius nomen *Hieronymi Spartani* collectoris fuerit expiscatus. Ordinem alphabeticum non mirabun-

tur, qui Fabulas etiam Aesopias eodem ordine digestas meminerint. Extant etiam in Ioannis Stobaei Florilegio et Eclogis sententiae monostichi sine nomine anctoris ordine alphabetico litterarum initialium digestae. In extremo Florilegii Titulo tertio positae sunt sententiae 8 monostichi, adjecto Menandri auctoris nomine, quas sine varietate repetiit Schow p. 107, quarum duae non insunt in opusculis Guelferbytano et Vindobonensibus: habent haec contra alias, quas in Grotii Excerptis reperire non potuit Heusinger, nec ego in Ioannis Stobaei libris editis: Grotii enim Excerpta ad manus, cum haec scriberem, non habebam. De Menandri auctoritate dubitare in universum cogit nos incerta fides collectoris et librorum editorum et scriptorum Ioannis Stobaei, qui nomina auctorum in margine adscripta saepissime et miris modis variant. Accedit in his ipsis sententiis, quas e simili Codice olim Aldus Manutius primus, omisso tamen Menandri nomine, vulgavit, testimonium scriptorum veterum, qui plures sententias Menandro hic tributas aliis poetis adscribunt.

Poterunt haec omnia a me in unum corpus collecta inservire puerorum et adolescentium ingeniis in graeco sermone erudiendis

variaque ratione exercendis, et multo quidem commodius et rectius, quam videmus in Fabulis Aesopiis barbaro sermone scriptis, quae hucusque per scholas Europae dominatae sunt. Nec deerit occasio legendis Babrii Choliambis et Menandri sententiis ingenium juvenile investigandae et noscendae naturae poeseos adsuefacere.

Scribebam Vratislaviae IV. a. d. Non. Apriles MDCCCXII.

Io. Gottlob Schneider,

Saxo.

I. Ἀετὸς καὶ Ἀλώπηξ. (N. 1. Fl. 1. Sy. 24. Cor. 280.)

Ἀετὸς καὶ ἀλώπηξ φιλεῖν ἀλλήλους συνθέμενοι, πλησίον ἑαυτῶν οἰκεῖν διέγνωσαν, βεβαίωσιν φιλίας τὴν συνήθειαν ποιούμενοι. Καὶ δὴ ὁ μὲν ἀναβὰς ἐπί τι περίμηκες δένδρον ἐνεοττοποιήσατο· ἡ δὲ εἰσελθοῦσα εἰς τὸν ὑποκείμενον θάμνον ἔτεκεν. Ἐξελθούσης δέ ποτε αὐτῆς ἐπὶ νομὴν, ὁ ἀετὸς ἀπορῶν τροφῆς, καταπτὰς εἰς τὸν θάμνον, καὶ τὰ γεννήματα ἀναρπάσας, μετὰ τῶν αὐτοῦ νεοττῶν κατεθοινήσατο. Ἡ δὲ ἀλώπηξ ἐπανελθοῦσα ὡς ἔγνω τὸ πραχθὲν, οὐ μᾶλλον ἐπὶ τῷ τῶν νεοττῶν θανάτῳ ἐλυπήθη, ὅσον ἐπὶ τῷ τῆς ἀμύνης ἀπόρῳ· χερσαία γὰρ οὖσα πτηνὸν διώκειν ἠδυνάτει. Διὸ πόῤῥωθεν στᾶσα, ὃ μόνον τοῖς ἀσθενέσι καὶ ἀδυνάτοις ὑπολείπεται, τῷ ἐχθρῷ κατηρᾶτο. Συνέβη δ᾽ αὐτῷ τῆς εἰς τὴν φιλίαν ἀσεβείας οὐκ εἰς μακρὰν δίκην ὑπελθεῖν· θυόντων γάρ τινων αἶγα ἐπ᾽ ἀγροῦ, καταπτὰς ἀπὸ τοῦ βωμοῦ σπλάγχνον ἐκ πυρὸς ἀνήνεγκεν· οὗ κομισθέντος εἰς τὴν καλιὰν, σφοδρὸς ἐμπεσὼν ἄνεμος ἐκ λεπτοῦ καὶ παλαιοῦ κάρφους λαμπρὰν φλόγα ἀνῆψε· καὶ διὰ τοῦτο καταφλεχθέντες οἱ νεοττοὶ (καὶ γὰρ ἦσαν ἔτι πτῆναι

ἀτελεῖς,) ἐπὶ τὴν γῆν κατέπεσον. Καὶ ἡ ἀλώπηξ προσδραμοῦσα ἐν ὄψει τοῦ ἀετοῦ πάντας αὐτοὺς κατέφαγεν.

Ὁ λόγος δηλοῖ, ὅτε οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν τῶν ἠδικημένων ἐκφύγωσι κόλασιν δι᾽ ἀσθένειαν, ἀλλ᾽ οὖν γε τὴν ἐκ θεοῦ τιμωρίαν διακρούονται οὐδ᾽ ὅλως.

II. Ἀετὸς καὶ Κολοιὸς καὶ Ποιμήν. (N. 207. Fl. 3. Sy. 10.)

Ἀετὸς καταπτὰς ἀπό τινος ὑψηλῆς πέτρας ἄρνα ἥρπασε· κολοιὸς δὲ τοῦτον θεασάμενος διὰ ζῆλον τοῦτον μιμήσασθαι ἤθελε. Καὶ δὴ καθεὶς ἑαυτὸν μετὰ πολλοῦ ῥοίζου ἐπὶ κριὸν ἠνέχθη· ἐμπαρέντων δ᾽ αὐτῷ τῶν ὀνύχων τοῖς μαλλοῖς, ἐξαρθῆναι μὴ δυνάμενος ἐπτερύσσετο, ἕως ὁ ποιμὴν, τὸ γεγονὸς αἰσθόμενος, προσδραμὼν συνέλαβεν αὐτὸν, καὶ περικόψας αὐτοῦ τὰ ὀξύπτερα, ὡς ἑσπέρα κατέλαβε, τοῖς αὐτοῦ παισὶν ἐκόμισε. Τῶν δὲ πυνθανομένων, τί ἂν εἴη τὸ ὄρνεον, ἔφη, ὡς μὲν ἐγὼ σαφῶς οἶδα, κολοιὸς, ὡς δὲ αὐτὸς βούλεται, ἀετός.

Οὕτως ἡ πρὸς τοὺς ὑπερέχοντας ἅμιλλα πρὸς τῷ μηδὲν ἀνύειν καὶ ἐπὶ συμφοραῖς προσκτᾶται γέλωτα.

III. Ἀετὸς καὶ Κάνθαρος. (Nev. 2.)

Ἀετὸς λαγωὸν ἐδίωκεν· ὁ δὲ ἐν ἐρημίᾳ τῶν βοηθησόντων ὑπάρχων, ὃν μόνον ὁ καιρὸς παρέσχε κάνθαρον ἰδὼν, τοῦτον ἱκέτευεν. Ὁ δὲ, παραθαῤῥύνας αὐτὸν, ὡς ἐγγὺς ἐλθόντα τὸν ἀετὸν ἐθεάσατο, παρεκάλει μὴ ἀπάγειν αὐτοῦ τὸν ἱκέτην· κἀκεῖνος ὑπεριδὼν τὴν σμικρότητα, ἐν ὄψει κανθάρου τὸν λαγωὸν κατεθοινήσατο. Ὁ δὲ ἀπ' ἐκείνου μνησικακῶν διετέλει, παρατηρούμενος τοῦ ἀετοῦ τὰς καλιὰς, καὶ εἴποτε ἐκεῖνος ἔτικτε, μετάρσιος διαιρόμενος ἐκύλιε τὰ ὠὰ καὶ κατέασσε, μέχρις οὗ πανταχόθεν ἐλαυνόμενος ὁ ἀετὸς ἐπὶ τὸν Δία κατέφυγεν, (ἐστὶ δὲ τοῦ Διὸς ἱερὸς ὁ ὄρνις,) καὶ αὐτοῦ ἐδεήθη, τόπον αὐτῷ πρὸς νεοττοποιΐαν ἀσφαλῆ παρασχεῖν. Τοῦ δὲ Διὸς ἐν τοῖς κόλποις αὐτοῦ τίκτειν ἐπιτρέψαντος αὐτῷ, ὁ κάνθαρος τοῦτο ἑωρακὼς, κόπρου σφαῖραν ποιήσας ἀνέπτη· καὶ γενόμενος κατὰ τοὺς τοῦ Διὸς κόλπους, ἐνταῦθα καθῆκεν. Ὁ δὲ Ζεὺς ἀποδύσασθαι τὴν κόπρον βουλόμενος, ὡς διανέστη, ἔλαθεν ἀποῤῥίψας τὰ ὠά· ἀπ' ἐκείνου τε φασὶ, περὶ ὃν καιρὸν οἱ κάνθαροι γίνονται, τοὺς ἀετοὺς μὴ νεοττεύειν.

Ὁ λόγος δηλοῖ, μηδενὸς καταφρονεῖν, λογιζομένους, ὅτι οὐδεὶς οὕτω ἐστὶν ἀδύνατος, ὡς προπηλακισθεὶς μὴ δύνασθαι αὐτὸν ἐκδικῆσαι.

IV. Ἀηδὼν καὶ Ἱέραξ. (Nev. 5. Fl. 2.)

Ἀηδὼν ἐπί τινος ὑψηλῆς δρυὸς καθημένη κατὰ τὸ σύνηθες ᾖδεν· ἱέραξ δὲ αὐτὴν θεασάμενος, ὡς

ἠπόρει τροφῆς, ἐπιπτὰς συνέλαβεν· ἡ δὲ μέλλουσα ἀναιρεῖσθαι ἐδέετο μεθεῖναι αὐτὴν, λέγουσα, ὡς οὐχ ἱκανή ἐστιν ἱέρακος γαστέρα αὐτὴ πληρῶσαι, δεῖ δὲ αὐτὸν, εἰ τροφῆς ἀπορεῖ, ἐπὶ τὰ μείζονα τῶν ὀρνέων τρέπεσθαι. Καὶ ὃς ὑποτυχὼν εἶπεν, ἀλλ' ἔγωγε ἀπόπληκτος ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην βορὰν ἀφεὶς τὰ μηδέπω φαινόμενα διώκοιμι.

Ὁ λόγος δηλοῖ, ὡς οὕτω καὶ τῶν ἀνθρώπων ἀλόγιστοί εἰσιν οἱ δι' ἐλπίδα μειζόνων πραγμάτων τὰ ἐν χερσὶν ὄντα προΐενται.

V. Χρεωφειλέτης. (Nev. 294.)

Ἀθήνησιν ἀνὴρ χρεωφειλέτης ἀπαιτούμενος ὑπὸ τοῦ δανειστοῦ τὸ χρέως τὸ μὲν πρῶτον παρεκάλει ἀναβολὴν αὐτῷ παρασχέσθαι, ἀπορεῖν φάσκων· ὡς δ' οὐκ ἔπειθε, προσαγαγὼν ὗν, ἣν μόνην εἶχε, παρόντος αὐτοῦ ἐπώλει. Ὠνητοῦ δὲ προσελθόντος καὶ διερωτῶντος, εἰ τοκὰς ἡ ὗς εἴη, ἐκεῖνος ἔφη, μὴ μόνον αὐτὴν τίκτειν, ἀλλὰ καὶ παραδόξως· τοῖς μὲν γὰρ μυστηρίοις θήλεα ἀποκύειν, τοῖς δὲ Παναθηναίοις ἄρσενα· τοῦ δὲ ἐκπλαγέντος πρὸς τὸν λόγον, ὁ δανειστὴς εἶπεν· ἀλλὰ μὴ θαύμαζε· αὕτη γάρ σοι καὶ Διονυσίοις ἐρίφους τέξεται.

Ὁ λόγος δηλοῖ, ὅτι πολλοὶ διὰ τὸ ἴδιον κέρδος οὐκ ὀκνοῦσιν οὐδὲ τοῖς ἀδυνάτοις ψευδομαρτυρεῖν.

VI. Αἰγοβοσκὸς καὶ Αἶγες. (N. 155.)

Αἰπόλος τὰς αἶγας αὐτοῦ ἐπὶ νομὴν ἀπελάσας ὡς ἐθεᾶτο ἀγρίαις αὐτὰς ἀναμιγείσας, ἑσπέρας

πιλαβούσης πάσας εἰς τὸ ἑαυτοῦ σπήλαιον εἰσήλασε. Τῇ δ' ὑστεραίᾳ χειμῶνος πολλοῦ γενομένου, μὴ δυνάμενος ἐπὶ τὴν συνήθη νομὴν αὐτὰς παραγαγεῖν, ἔνδον ἔστησε μένειν, ταῖς μὲν ἰδίαις μετρίαν τροφὴν παραβαλὼν πρὸς μόνον τὸ μὴ λιμώττειν, ταῖς δὲ ὀθνείαις πλείονα περισωρεύων πρὸς τὸ καὶ αὐτὰς ἐξιδιοποιήσασθαι. Παυσαμένου δὲ τοῦ χειμῶνος ἐπειδὴ πάσας ἐπὶ νομὴν ἐξήγαγεν, αἱ ἄγριαι ἐπιλαβόμεναι τῶν ὀρῶν ἔφευγον. Τοῦ δὲ ποιμένος ἀχαριστίαν αὐτῶν κατηγοροῦντος, εἰ περιττοτέρας αὐταὶ ἐπιμελείας ἐπιτυχοῦσαι καταλείπουσιν αὐτὸν, ἔφασαν ἐπιστραφεῖσαι, Ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μᾶλλον φυλαττόμεθα· εἰ γὰρ ἡμᾶς τὰς χθές σοι προσεληλυθυίας μειζόνως τῶν πάλαι σὺ προετίμησας, δῆλον ὅτι, εἰ καὶ ἕτεραί σοι μετὰ ταῦτα προσπελάσουσιν, ἐκείνας ἡμῶν προκρινεῖς.

Ὁ λόγος δηλοῖ μὴ δεῖν τούτων ἕνα.. συνίζεσθαι τὰς φιλίας, οἳ τῶν παλαιῶν φίλων ἡμᾶς τοὺς προσφάτους προτιμῶσι, λογιζομένους, ὅτι καὶ, κἂν ἡμῶν ἐγχρονιζόντων ἑτέροις φιλιάσωσιν, ἐκείνοις προκρίνουσιν.

VII. *Αἴλουρος καὶ Ὄρνιθες.* (N. 155. Fl. 14. et 157. Cor. 92.)

Αἴλουρος ἀκούσας ὅτι ἔν τινι ἐπαύλει ὄρνιθες νοσοῦσι, σχηματίσας ἑαυτὸν εἰς ἰατρὸν, καὶ τὰ τῆς ἐπιστήμης πρόσφορα ἀναλαβὼν ἐργαλεῖα, παρεγένετο, καὶ στὰς πρὸ τῆς ἐπαύλεως, ἐπυνθάνετο

αὐτῶν πῶς ἔχοιεν· αἱ δὲ ὑποτυχοῦσαι, καλῶς, ἔφασαν, ἐὰν σὺ ἐντεῦθεν ἀπαλλαγῇς.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ τοὺς φρονίμους οὐ λανθάνουσι, κἂν τὰ μάλιστα χρηστότητα ὑποκρίνωνται.

VIII. *Αἴσωπος ἐν ναυπηγίῳ.* (Huds. 312. Vat. 375.)

Αἴσωπός ποτε ὁ λογοποιὸς σχολὴν ἄγων εἰς ναυπήγιον εἰσῆλθε· τῶν δὲ ναυπηγῶν σκωπτόντων τε αὐτὸν καὶ ἐκκαλουμένων εἰς ἀπόκρισιν, ὁ Αἴσωπος ἔλεγε, Τὸ παλαιὸν χάος καὶ ὕδωρ γενέσθαι, τὸν δὲ Δία βουλόμενον καὶ τὸ τῆς γῆς στοιχεῖον ἀναδεῖξαι, παραινέσαι αὐτῇ, ὅπως ἐπὶ τρὶς ἐκροφήσῃ τὴν θάλασσαν· κἀκείνη ἀρξαμένη τὸ μὲν πρῶτον τὰ ὄρη ἐξέφηνεν, ἐκ δευτέρου δὲ ἐκροφήσασα καὶ τὰ πεδία ἀπεγύμνωσεν· ἂν δὲ δόξῃ αὐτῇ καὶ τὸ τρίτον ἐκπιεῖν τὸ ὕδωρ, ἄχρηστος ὑμῶν ἡ τέχνη γενήσεται.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ τοὺς κρείττονας χλευάζοντες λανθάνουσι μείζονας ἑαυτοῖς τὰς ἀνοίας ἐξ αὐτῶν ἐπισπώμενοι.

IX. *Ἀλώπηξ καὶ Τράγος.* (N. 4. et 284. Fl. 4. Sy. 10.)

Ἀλώπηξ πεσοῦσα εἰς φρέαρ, ἐπάναγκες ἔμενε, πρὸς τὴν ἀνάβασιν ἀμηχανοῦσα· τράγος δὲ δίψῃ συνεχόμενος ὡς ἐγένετο κατὰ τὸ αὐτὸ φρέαρ, θεασάμενος αὐτὴν, ἐπυνθάνετο, εἰ καλὸν εἴη τὸ ὕδωρ· ἡ δὲ, τὴν δυστυχίαν ἀσμενισαμένη, πολὺν ἐπαι-

νον τοῦ ὕδατος κατέτεινε, λέγουσα, ὡς χρηστὸν εἴη, καὶ καταβῆναι αὐτῷ παρῄνει. Ὁ δὲ ἀμελετήτως κατῆλθε διὰ μόνην ἐπιθυμίαν, καὶ ἅμα τῷ τὴν δίψαν σβέσαι, μετὰ τῆς ἀλώπεκος ἐσκόπει τὴν ἄνοδον· καὶ ἡ ἀλώπηξ χρήσιμόν τι ἔφη ἐπινενοηκέναι εἰς τὴν ἀμφοτέρων σωτηρίαν· εἰ γὰρ θελήσεις τοὺς ἐμπροσθίους πόδας τῷ τοίχῳ προσερεῖσαι, ἐγκλίνας τὰ κέρατα, ἀναδραμοῦσα αὐτὴ διὰ τοῦ σοῦ νώτου καὶ σὲ ἀναβιβάσω. Τοῦ δὲ καὶ πρὸς τὴν δευτέραν παραίνεσιν ἑτοίμως ὑπηρετήσαντος, ἡ ἀλώπηξ ἀλλομένη διὰ τῶν σκελῶν αὐτοῦ ἐπὶ τὸν νῶτον ἀνέβη, καὶ ἀπ' ἐκείνου ἐπὶ τὰ κέρατα διερεισαμένη, ἐπὶ τὸ στόμα τοῦ φρέατος ἀνελθοῦσα ἀπηλλάττετο. Τοῦ δὲ τράγου μεμφομένου αὐτὴν, ὡς τὰς ὁμολογίας παραβαίνουσαν, ἐπιστραφεῖσα εἶπεν, ὦ οὗτος, ἀλλ' εἰ τοσαύτας φρένας εἶχες, ὅσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον δὴ καταβεβήκεις, πρὶν ἢ τὴν ἄνοδον ἐσκέψω.

Οὕτω καὶ τῶν ἀνθρώπων τοὺς φρονίμους δεῖ πρότερον τὰ τέλη τῶν πραγμάτων σκοπεῖν, εἶθ' οὕτως αὐτοῖς ἐγχειρεῖν.

X. Ἀλώπηξ καὶ Λέων. (N. 5. Fl. 7.)

Ἀλώπηξ μηδέποτε θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα συντυχίαν ὑπήντησε, τὸ μὲν πρῶτον ἰδοῦσα οὕτως ἐξεταράχθη, ὡς μικροῦ ἀποθανεῖν· ἐκ δευτέρου δ' αὐτῷ ἐπιτυχοῦσα ἐφοβήθη· ἐκ τρίτου δὲ θεασαμένη οὕτω κατεθάῤῥησεν, ὡς καὶ προσελθοῦσαν αὐτῷ διαλέγεσθαι.

Ὁ λόγος δηλοῖ, ὅτι ἡ συνήθεια καὶ τὰ φοβερὰ τῶν πραγμάτων καταπραΰνει.

XI. Ἁλιεύς. (Nev. 130. Fl. 54.)

Ἁλιεὺς αὐλητικῆς ἔμπειρος, ἀναλαβὼν τοὺς αὐλοὺς καὶ τὰ δίκτυα παρεγένετο εἰς τὴν θάλασσαν, καὶ στὰς ἐπί τινος προβλήματος πέτρας τὸ μὲν πρῶτον ᾖδε, νομίζων αὐτομάτους πρὸς τὴν ἡδυφωνίαν τοὺς ἰχθύας ἐξελεύσεσθαι· ὡς δ' αὐτοῦ ἐπὶ πολὺ διατεινομένου οὐδὲν πέρας ἠνύετο, ἀποθέμενος τοὺς αὐλοὺς ἀνείλετο τὸ ἀμφίβληστρον, καὶ βαλὼν κατὰ τοῦ ὕδατος πολλοὺς ἰχθύας ἤγρευσεν. Ἐκβαλὼν δ' αὐτοὺς ἀπὸ τῶν δικτύων ἐπὶ τὴν ᾐόνα, ὡς ἐθεάσατο ἀσπαίροντας, ἔφη· Ὦ κάκιστα ζῶα, ὑμεῖς, ὅτε μὲν ηὔλουν, οὐκ ὠρχεῖσθε, νῦν δὲ, ὅτε πέπαυμαι, τοῦτο πράττετε.

Πρὸς τοὺς παρὰ καιρόν τι πράττοντας ὁ λόγος εὔκαιρος.

XII. Ἀλώπηξ καὶ Πάρδαλις. (N. 162. Fl. 13. Tyr. 135.)

Ἀλώπηξ καὶ πάρδαλις περὶ κάλλους ἤριζον· τῆς δὲ παρδάλεως παρ' ἕκαστα τὴν τοῦ σώματος ποικιλίαν προβαλλομένης, ἡ ἀλώπηξ ὑποτυχοῦσα ἔφη· Καὶ πόσον ἐγώ σου καλλίων ὑπάρχω, ἥτις οὐ τὸ σῶμα, τὴν δὲ ψυχὴν πεποίκιλμαι.

Ὁ λόγος δηλοῖ, ὅτι τοῦ σωματικοῦ κάλλους ἀμείνων ἐστὶν ὁ τῆς διανοίας κόσμος.

XIII. Ἁλιεῖς. (N. 15. Fl. 28.)

Ἁλιεῖς σαγήνην εἷλκον· βαρείας δ' αὐτῆς οὔσης, ἔχαιρον καὶ ὠρχοῦντο, πολλὴν εἶναι νομίζοντες τὴν ἄγραν· ὡς δὲ ἑλκύσαντες ἐπὶ τὴν ἠόνα τὸν μὲν ἰχθὺν ὀλίγον εὗρον, λίθων δὲ καὶ ἄμμων μεστὴν τὴν σαγήνην, οὐ μετρίως ἐβαρυθύμουν, οὐχ οὕτω μᾶλλον ἐπὶ τῷ συμβεβηκότι δυσφοροῦντες, ὅσον ὅτι καὶ τὰ ἐναντία προειλήφασι. Εἷς δέ τις ἐν αὐτοῖς γηραιὸς ὢν εἶπεν, ἀλλὰ παυσώμεθα, ὦ ἑταῖροι· χαρᾶς γὰρ ὡς ἔοικεν ἀδελφή ἐστιν ἡ λύπη· καὶ ἡμᾶς ἔδει τοσαῦτα προησθέντας πάντως τι καὶ λυπηθῆναι.

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τοῦ βίου τὸ εὐμετάβλητον ὁρῶντας μὴ τοῖς αὐτοῖς ἀεὶ πράγμασιν ἐπαγάλλεσθαι, λογιζομένους, ὅτι ἐκ πολλῆς εὐδίας ἀνάγκη καὶ χειμῶνα γενέσθαι.

XIV. Ἀλώπηξ καὶ Πίθηκος. (Sy. 14. Cor. 374.)

Ἀλώπηξ καὶ πίθηκος ἐν ταὐτῷ ὁδοιποροῦντες περὶ εὐγενείας ἤριζον· πολλὰ δὲ ἑκατέρων διεξιόντων, ἐπειδὴ ἐγένοντο κατά τινα τόπον, ἐνταῦθα ἀποβλέψας ἀνεστέναξεν ὁ πίθηκος· τῆς δ' ἀλώπεκος ἐρομένης τὴν αἰτίαν, ὁ πίθηκος ἐπιδείξας αὐτῇ τὰ μνήματα, ἔφη, Ἀλλ' οὐ μέλλω κλαίειν, ὁρῶν τὰς στήλας τῶν πατρικῶν μου ἀπελευθέρων καὶ δούλων; Κἀκείνη πρὸς αὐτὸν ἔφη, Ἀλλὰ ψεύδου ὅσα βούλει· οὐδεὶς γὰρ τούτων ἀναστάς σε ἐλέγξει.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ ψευδολόγοι τότε μάλιστα καταλαζονεύονται, ὅταν τοὺς ἐλέγχοντας μὴ ἔχωσι.

XV. Ἀλώπηξ καὶ Βότρυς. (N. 59. Flor. 5. et 170.)

Ἀλώπηξ λιμώττουσα ὡς ἐθεάσατο ἐπί τινος ἀναδενδράδος βότρυας κρεμαμένους, ἠβουλήθη αὐτῶν περιγενέσθαι, καὶ οὐκ ἠδύνατο· ἀπαλλαττομένη δὲ πρὸς ἑαυτὴν εἶπεν, ὄμφακές εἰσιν.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, τῶν πραγμάτων ἐφικέσθαι μὴ δυνάμενοι δι᾽ ἀσθένειαν, τοὺς καιροὺς αἰτιῶνται.

XVI. Αἴλουρος καὶ Ἀλεκτρυών. (Nev. 6. Fl. 15.)

Αἴλουρος συλλαβὼν ἀλεκτρυόνα, τοῦτον ἐβούλετο μετ᾽ εὐλόγου αἰτίας καταθοινήσασθαι, καὶ δὴ ἀρξάμενος κατηγόρει αὐτοῦ λέγων, ὀχληρὸν ἶναι τοῖς ἀνθρώποις νύκτωρ κεκραγότα, καὶ οὐδὲ ὕπνου τυχεῖν αὐτοὺς ἐῶντα. Τοῦ δὲ εἰπόντος, ὡς ἐπ᾽ ὠφελείᾳ αὐτῶν τοῦτο ποιεῖ· ἐπὶ γὰρ τὰ συνήθη τῶν ἔργων ἐγείρειν· ἐκ δευτέρου ἔλεγεν, ἀλλὰ καὶ ἀσεβής τε εἰς τὴν φύσιν καθέστηκας, καὶ ἀδελφαῖς καὶ μητράσιν ἐπεμβαίνεις. Τοῦ δὲ καὶ τοῦτο εἰς ὠφέλειαν τῶν δεσποτῶν πράττειν φήσαντος· πολλὰ γὰρ ὠὰ τίκτεσθαι παρασκευάζω· διαπορηθεὶς ἐκεῖνος ἔφη, ἐὰν οὖν σὺ ἀφορμὰς εὐρήσεις, ἐγὼ σὲ οὐ κατεδοῦμαι.

Ὁ λόγος δηλοῖ, ὅτι ἡ πονηρὰ φύσις πλημμελεῖν προελομένη, κἂν μὴ μετ' εὐλόγου προσχήματος δυνηθῇ, ἀπαρακαλύπτως πονηρεύεται.

XVII. Ἀλώπηξ κόλουρος. (N. 7. Fl. 6. Sy. p. XI.)

Ἀλώπηξ ὑπό τινος παγίδος τὴν οὐρὰν ἀποκοπεῖσα, ἐπειδὴ δι' αἰσχύνην ἀβίωτον ἡγεῖτο τὸν βίον ἔχειν, ἔγνω δεῖν καὶ τὰς ἄλλας ἀλώπεκας εἰς τὸ αὐτὸ προσαγαγεῖν, ἵνα τῷ κοινῷ πάθει τὸ ἴδιον ἐλάττωμα συγκρύψῃ. Καὶ δὴ ἁπάσας ἀθροίσασα παρήνει αὐταῖς τὰς οὐρὰς ἀποκόπτειν, λέγουσα, ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο, ἀλλὰ καὶ περισσόν τι αὐταῖς βάρος προσήρτηται. Τούτων δέ τις ὑποτυχοῦσα ἔφη, ὦ αὕτη, ἀλλ' εἴ σοι μὴ τοῦτο συνέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευσας.

Ὁ λόγος [δηλοῖ] πρὸς ἐκείνους, οἳ τὰς συμβουλίας ποιοῦνται τοῖς πέλας οὐ δι' εὔνοιαν, ἀλλὰ διὰ τὸ ἑαυτοῖς συμφέρον.

XVIII. Ἁλιεὺς καὶ Μαινίς. (N. 124. Fl. 20.)

Ἁλιεὺς καθεὶς τὸ δίκτυον ἀνήγαγε μαινίδα· τῆς δὲ ἱκετευούσης αὐτ`ν πρὸς τὸ παρὸν μεθεῖναι αὐτὴν, ἐπειδὴ μικρὰ τυγχάνει, ὕστερον δὲ αὐξανθεῖσαν συλλαβεῖν εἰς μείζονα ὠφέλειαν, ὁ ἁλιεὺς εἶπεν, ἀλλ' ἔγωγε εὐηθέστατος ἂν εἴην, εἰ τὸ παρὸν κέρδος ἀφεὶς ἄδηλον ἐλπίδα διώκοιμι.

Ὁ λόγος δηλοῖ, ὅτι αἱρετώτερόν ἐστι κέρδος τὸ παρὸν, κἂν μικρὸν ᾖ, τοῦ προσδοκωμένου, κἂν μέγα ὑπάρχῃ.

XIX. Ἀλώπηξ καὶ Βάτος. (N. 8. Fl. 8.)

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθαίνειν ἔμελλε, βάτου ἐπελάβετο, ξυσθεῖσα δὲ τὸ πέλμα, καὶ δεινῶς διατεθεῖσα, ᾐτιᾶτο αὐτὴν, εἴ γε καταφυγοῦσα ἐπ' αὐτὴν ὡς ἐπὶ βοηθὸν χείρονι αὐτῇ ἐχρήσατο καὶ τοῦ προκειμένου. Καὶ ἡ βάτος ὑποτυχοῦσα εἶπεν, ἀλλ' ἐσφάλης τῶν φρενῶν, ὦ αὕτη, ἐμοῦ ἐπιλαβέσθαι βουληθεῖσα, ἥτις πάντων ἐπιλαβέσθαι εἴωθα.

Οὕτω καὶ τῶν ἀνθρώπων μάταιοί εἰσιν ὅσοι τούτοις ὡς βοηθοῖς προσφεύγουσιν, οἷς τὸ ἀδικεῖν μᾶλλόν ἐστιν ἔμφυτον.

XX. Ἀλώπηξ καὶ Κροκόδειλος. (N. 9. Fl. 9.)

Ἀλώπηξ καὶ κροκόδειλος περὶ εὐγενείας ἤριζον· πολλὰ δὲ τοῦ κροκοδείλου διεξιόντος περὶ τῆς τῶν προγόνων λαμπρότητος, καὶ τὸ τελευταῖον λέγοντος, ὅτι γεγυμνασιαρχηκότων ἐστὶ πατέρων, ἡ ἀλώπηξ ὑποτυχοῦσα ἔφη, ἀλλὰ κἂν σὺ μὴ εἴπῃς, ἀπὸ τοῦ δέρματος φαίνῃ, ὅτι ἀπὸ πολλῶν εἶ γυμνασμάτων.

Οὕτω καὶ τῶν ψευδολόγων ἀνθρώπων ἔλεγχός ἐστι τὰ πράγματα.

XXI. Ἁλιεῖς. (N. 17. Flor. 35.)

Ἁλιεῖς ἐπ' ἄγραν ἐξελθόντες καὶ πολὺν χρόνον κακοπαθήσαντες οὐδὲν συνέλαβον καθεζόμενοι ἐν

τῇ νηῒ ἠθύμουν· ἐν τοσούτῳ δὲ θύννος διωκόμενος καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος ἔλαθεν εἰς τὸ σκάφος ἐναλλόμενος· οἱ δὲ συλλαβόντες αὐτὸν καὶ εἰς τὴν πόλιν ἐλάσαντες ἀπημπόλησαν.

Οὕτω πολλάκις ἃ μὴ τέχνη παρέχει, ταῦτα τύχη διεβράβευσε.

XXII. Ἀλώπηξ καὶ Δρυτόμος. (N. 127. Fl. 10.)

Ἀλώπηξ κυνηγοὺς φεύγουσα ὡς ἐθεάσατό τινα δρυτόμον, τοῦτον ἱκέτευε κατακρύψαι αὐτήν· ὁ δ' αὐτῇ παρήνεσεν, εἰς τὴν ἑαυτοῦ καλύβην εἰσελθοῦσαν κρυβῆναι. Μετ' οὐ πολὺ δὲ παραγενομένων τῶν κυνηγῶν καὶ τοῦ δρυτόμου πυνθανομένων, εἰ τεθέαται ἀλώπεκα τῇδε παριοῦσαν, κἀκεῖνος τῇ μὲν φωνῇ ἠρνεῖτο ἑωρακέναι, τῇ δὲ χειρὶ νεύων ἐσήμαινεν ὅπου κατεκέκρυπτο. Τῶν δὲ οὐχ οἷς ἔνευε προσσχόντων, ἀλλ' οἷς ἔλεγε πιστευσάντων, ἡ ἀλώπηξ ἰδοῦσα αὐτοὺς ἀπαλλαγέντας, ἐξελθοῦσα ἀπροσφωνητὶ ἐπορεύετο· μεμφομένου δ' αὐτὴν τοῦ δρυτόμου, εἴγε διασωθεῖσα ὑπ' αὐτοῦ οὐδὲ φωνῆς αὐτὴν ἠξίωσεν, ἔφη, Ἀλλ' ἔγωγε εὐχαρίστησα ἄν σοι, εἰ τοῖς λόγοις ὅμοια τὰ ἔργα τῶν χειρῶν καὶ τοὺς τρόπους εἶχες.

Τούτῳ τῷ λόγῳ χρήσαιτ' ἄν τις πρὸς ἐκείνους τῶν ἀνθρώπων, οἵτινες τὰ μὲν χρηστὰ σαφῶς ἐπαγγέλλονται, ἔργα δὲ φαῦλα δρῶσιν.

XXIII. Ἀλεκτρυόνες καὶ Πέρδιξ. (N. 10. Fl. 16.)

Ἀλεκτρυόνας τὶς ἐπὶ τῆς οἰκίας ἔχων, ὡς περιέτυχε πέρδικι τιθασσῷ πωλουμένῳ, τοῦτον ἀγοράσας ἐκόμισεν οἴκαδε, ὡς συντραφησόμενον· τῶν δὲ τυπτόντων αὐτὸν καὶ ἐκδιωκόντων, ὁ πέρδιξ ἐβαρυθύμει, νομίζων διὰ τοῦτο αὐτὸν καταφρονεῖσθαι, ὅτι ἀλλόφυλός ἐστι· μικρὸν δὲ [ὕστερον ὡς] ἐθεάσατο τοὺς ἀλεκτρυόνας πρὸς ἑαυτοὺς μαχομένους, καὶ οὐ πρότερον ἀποστάντας, πρὶν ἢ ἀλλήλους πατάξαι, ἔφη πρὸς ἑαυτὸν, Ἀλλ' ἔγωγε οὐκ ἄχθομαι ὑπὸ τούτων τυπτόμενος· ὁρῶ γὰρ αὐτοὺς οὐδὲ αὑτῶν ἀπεχομένους.

Ὁ λόγος δηλοῖ, ὅτι ῥᾴδιον τὰς ἐκ τῶν πέλας ὕβρεις οἱ φρόνιμοι δέχονται, ὅταν ἴδωσιν αὐτοὺς μηδὲ τῶν οἰκείων ἀπεχομένους.

XXIV. Ἀλώπηξ ἐξογκωθεῖσα τὴν γαστέρα. (N. 161. Fl. 12. Cor. 158.)

Ἀλώπηξ λιμώττουσα ὡς ἐθεάσατο ἔν τινι δρυὸς κοιλώματι ἄρτους καὶ κρέα ὑπό τινων ποιμένων καταλελειμμένα, ταῦτα εἰσελθοῦσα κατέφαγεν· ἐξογκωθεῖσα δὲ τὴν γαστέρα, ἐπειδὴ οὐκ ἠδύνατο ἐξελθεῖν, ἐστέναζε καὶ ὠδύρετο. Ἑτέρα δὲ ἀλώπηξ τῇδε παριοῦσα εἰσήκουσε αὐτῆς τῶν στεναγμῶν, καὶ προσελθοῦσα ἐπυνθάνετο τὴν αἰτίαν· μαθοῦσα δὲ τὰ γεγενημένα, ἔφη πρὸς αὐτὴν, Ἀλλὰ μενετέον σοὶ ἐνταῦθα, ἕως ἂν τοιαύ-

τη γένη, ὁποία οὖσα εἰσῆλθες, καὶ οὕτω ῥαδίως ἐξελεύσῃ.

Ὁ λόγος δηλοῖ, ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει.

XXV. Ἀλκυών. (N. 86.)

Ἀλκυὼν ὄρνεόν ἐστι φιλέρημον διὰ παντὸς ἐν θαλάττῃ διαιτώμενον. Ταύτην λέγεται τὰς τῶν ἀνθρώπων θήρας φυλαττομένην ἐν σκοπέλοις παραθαλαττίοις νεοττοποιεῖσθαι. Καὶ δή ποτε τίκτειν μέλλουσα παρεγένετο εἴς τι ἀκρωτήριον, καὶ θεασαμένη πέτραν ἐπὶ θαλάσσῃ ἐνεοττοποιεῖτο ἐνταῦθα. Ἐξελθούσης δ' αὐτῆς ποτε ἐπὶ νομὴν, συνέβη τὴν θάλασσαν ὑπὸ λάβρων πνευμάτων κυματωθεῖσαν ἐξαρθῆναι μέχρι τῆς καλιᾶς, καὶ ταύτην ἐπικλύσασαν τοὺς νεοττοὺς διαφθεῖραι· καὶ ἡ ἀλκυὼν ἐπανελθοῦσα ὡς ἔγνω τὸ γεγονὸς, εἶπεν, Ἀλλ' ἔγωγε δειλαία, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη ἐπὶ ταύτην κατέφυγον, ἣ πολλῷ μοι γέγονεν ἀπιστοτέρα.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τοὺς ἐχθροὺς φυλαττόμενοι λανθάνουσι πολλῷ χαλεπωτέροις τῶν ἐχθρῶν φίλοις ἐμπίπτοντες.

XXVI. Ἁλιεύς. (N. 87.)

Ἁλιεὺς ἔν τινι ποταμῷ ἡλίευε, καὶ δὴ κατατείνας τὰ δίκτυα ὡς περιέλαβεν ἑκατέρωθεν τὸ ῥεῦμα, προσδήσας κάλῳ λίθον, ἔτυπτε τὸ ὕδωρ,

ὅπως οἱ ἰχθύες φεύγοντες ἀπαραφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. Τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τὶς θεασάμενος αὐτὸν τοῦτο ποιοῦντα, ἐμέμφετο, ὡς τὸν ποταμὸν θολοῦντα καὶ μὴ ἐῶντα αὐτοὺς διαυγὲς ὕδωρ πίνειν· ὁ δὲ ἀπεκρίνατο, Ἀλλ' ἐὰν μὴ οὕτως ὁ ποταμὸς ταράσσηται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν.

Οὕτω καὶ τῶν πόλεων οἱ δημαγωγοὶ τότε μάλιστα ἐργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσεις περιαγάγωσιν.

XXVII. Ἀλώπηξ πρὸς μορμολύκειον. (N. 11. Fl. 11.)

Ἀλώπηξ διελθοῦσα εἰς πλάστου ἐργαστήριον, καὶ ἕκαστον τῶν ἐνόντων διερευνῶσα ὡς περιέτυχε τραγῳδῶν προσώπῳ, τοῦτο ἐπάρασα εἶπεν, Οἵα κεφαλὴ ἐγκέφαλον οὐκ ἔχει.

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα μεγαλοπρεπῆ μὲν σώματι, κατὰ ψυχὴν δὲ ἀλόγιστον.

XXVIII. Φέναξ. (N. 18. Fl. 56.)

Ἀνὴρ πένης νοσῶν καὶ κακῶς διακείμενος ηὔξατο τοῖς θεοῖς ἑκατόμβην τελέσαι, εἰ περισώσειαν αὐτόν. Οἱ δὲ ἀπόπειραν αὐτοῦ ποιήσασθαι βουλόμενοι, ῥαΐσαι τάχιστα αὐτὸν παρεσκεύασαν· κἀκεῖνος ἐξαναστὰς ἐπειδὴ ἀληθινῶν βοῶν ἠπόρει, στεατίνους ἑκατὸν πλάσας ἐπί τινος βωμοῦ κατέκαυσεν εἰπὼν, Ἀπέχετε τὴν εὐχὴν, ὦ δαίμονες. Οἱ δὲ θεοὶ βουλόμενοι αὐτὸν ἐν μέρει ἀντιβουκολῆσαι, ὄναρ αὐτῷ ἔπεμψαν, παραινοῦντες

ἐλθεῖν εἰς τὸν αἰγιαλόν· ἐκεῖ γὰρ εὑρήσεις ἀττικὰς μυρίας. Καὶ ὃς περιχαρὴς γενόμενος, δρομαῖος ἧκεν ἐπὶ τὴν ἠόνα, ἔνθα δὴ λησταῖς περιτυχὼν ἀπήχθη, καὶ ὑπ᾽ αὐτῶν πωλούμενος εὗρε δραχμὰς χιλίας.

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ψευδολόγον.

XXIX. Ἀνθρακεὺς καὶ Γναφεύς. (N. 12. Fl. 27.)

Ἀνθρακεὺς ἐπί τινος οἰκίας ἐργαζόμενος καὶ θεασάμενος γναφέα αὐτῷ παροικισθέντα, προσελθὼν παρεκάλει αὐτὸν, ὅπως σύνοικος αὐτῷ γένηται, διεξιὼν ὡς οἰκειότεροι ἀλλήλοις ἔσονται καὶ λυσιτελέστεροι διὰ μίαν ἔπαυλιν οἰκοῦντες. Καὶ ὁ γναφεὺς ὑποτυχὼν ἔφη πρὸς αὐτὸν, Ἀλλ᾽ ἔμοιγε παντελῶς τοῦτό ἐστιν ἀδύνατον· ὃ γὰρ ἐγὼ λευκανῶ, σὺ ἀσβολήσεις.

Ὁ λόγος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητόν ἐστι.

XXX. Ναυαγός. (Nev. 250.)

Ἀνὴρ πλούσιος Ἀθηναῖος μεθ᾽ ἑτέρων τινῶν ἔπλει· καὶ δὴ χειμῶνος σφοδροῦ γενομένου, καὶ τῆς νηὸς περιτραπείσης, οἱ μὲν λοιποὶ πάντες διενήχοντο, ὁ δὲ Ἀθηναῖος παρ᾽ ἕκαστα τὴν Ἀθηνᾶν ἐπικαλούμενος μυρία ἐπηγγέλλετο, ἂν περισωθῇ. Εἷς δέ τις τῶν συνναυαγηκότων παρανηχόμενος ἔφη πρὸς αὐτὸν, Σὺν Ἀθηνᾷ καὶ σὺ τὰς χεῖρας κίνει.

Ἀτὰρ οὖν καὶ ἡμᾶς μετὰ τῆς τῶν θεῶν παρακλήσεως χρὴ καὶ αὐτούς τι ὑπὲρ ἑαυτῶν λογιζομένους δρᾶν.

XXXI. Ἀνὴρ μεσαιπόλιος. (Nev. 165. Cor. p. 352.)

Ἀνὴρ μεσαιπόλιος δύο ἐρωμένας εἶχεν, ὧν ἡ μὲν νέα, ἡ δὲ πρεσβῦτις· καὶ ἡ μὲν προβεβηκυῖα αἰδουμένη νεωτέρῳ αὐτῆς πλησιάζειν, διετέλει, εἴ ποτε πρὸς αὐτὴν παρεγένετο, τὰς μελαίνας αὐτοῦ τρίχας περιαιρουμένη· ἡ δὲ νεωτέρα ὑποστελλομένη γέροντα ἐραστὴν ἔχειν, τὰς πολιὰς αὐτοῦ ἀπέσπα· καὶ οὕτω συνέβη ὑπὸ ἀμφοτέρων αὐτὸν περιτιλλόμενον φαλακρὸν γενέσθαι.

Οὕτω πανταχοῦ τὸ ἀνώμαλον ἐπιβλαβές ἐστι.

XXXII. Ἀνδροφόνος. (N. 163. Fl. 29. Cor. 160.)

Ἄνθρωπόν τις ἀποκτείνας ὑπὸ τῶν αὐτοῦ συγγενῶν ἐδιώκετο, γενόμενος δὲ κατὰ Νεῖλον τὸν ποταμὸν, λύκου αὐτῷ ἀπαντήσαντος, φοβηθεὶς ἀνέβη ἐπί τι δένδρον τῷ ποταμῷ παρακείμενον, κἀκεῖ ἐκρύπτετο. Θεασάμενος δὲ ἐνταῦθα ἔχιν κατ' αὐτοῦ ἐρχόμενον, ἑαυτὸν εἰς τὸν ποταμὸν καθῆκεν· ἐν δὲ τούτῳ ὑποδεξάμενος αὐτὸν κροκόδειλος κατεθοινήσατο.

Ὁ λόγος δηλοῖ, ὅτι τοῖς ἐναγέσι τῶν ἀνθρώπων οὔτε γῆς οὔτε ἀέρος οὔτε ὕδατος στοιχεῖον ἀσφαλές.

XXXIII. *Πένταθλος κομπαστής.* (N. 14. Fl. 30.)

Ἀνὴρ πένταθλος ἐπ' ἀνανδρίᾳ ἑκάστοτε ὑπὸ τῶν πολιτῶν ὀνειδιζόμενος, ἀποδημήσας ποτὲ, καὶ μετὰ χρόνον ἐπανελθὼν, ἀλαζονευόμενος ἔλεγεν, ὡς πολλὰ μὲν καὶ ἐν ἄλλαις πόλεσιν ἀνδραγαθήσας ἐν τῇ Ῥόδῳ τοιοῦτον ἥλατο πήδημα, ὡς μηδένα τῶν Ὀλυμπιονικῶν ἐφικέσθαι· καὶ τούτου μάρτυρας ἔφη παρέξεσθαι τοὺς παρατετυχηκότας ἄνδρας, ἂν ἄρα ποτὲ ἐπιδημήσωσι. Τῶν δὲ παρόντων τις ὑποτυχὼν ἔφη πρὸς αὐτὸν, Ἀλλ' ὦ φίλε, εἰ τοῦτο ἀληθές ἐστιν, οὐδὲν δεῖ σοι μαρτύρων· αὕτη γὰρ Ῥόδος καὶ πήδημα.

Ὁ λόγος δηλοῖ, ὧν πρόχειρος ἡ δι' ἔργων πεῖρα, περὶ τούτων πᾶς λόγος περιττός ἐστι.

XXXIV. *Ἀδύνατα ἐπαγγελλόμενος.* (N. 15. Flor. 31.)

Ἀνὴρ πένης νοσῶν καὶ κακῶς διακείμενος, ἐπειδὴ παρὰ τῶν ἰατρῶν ἀπηλπίσθη, τοῖς θεοῖς ηὔχετο ἑκατόμβην ποιῆσαι, ἐπαγγειλάμενος καὶ ἀναθήματα καθιερώσειν, ἐὰν ἐξαναστῇ. Τῆς δὲ γυναικὸς, ἐτύγχανε γὰρ αὐτῇ παρεστῶσα, πυνθανομένης, Καὶ πόθεν αὐτὰ ἀποδώσῃ; ἔφη, Νομίζεις γάρ με ἐξαναστήσεσθαι, ἵνα καὶ ταῦτα οἱ θεοὶ ἀπαιτήσωσι;

Ὁ λόγος δηλοῖ, ὅτι ταῦτα ῥᾴδιον οἱ ἄνθρωποι κατεπαγγέλλονται, ἃ τελέσειν ἔργῳ οὐ προσδοκῶσι.

XXXV. Ἄνθρωπος καὶ Σάτυρος. (Nev. 126. Fl. 26.)

Ἄνθρωπόν ποτε λέγεται πρὸς Σάτυρον φιλίαν σπείσασθαι· καὶ δὴ χειμῶνος καταλαβόντος καὶ ψύχους γενομένου ὁ ἄνθρωπος τὰς χεῖρας τῷ στόματι ἐπέπνει. Τοῦ δὲ Σατύρου τὴν αἰτίαν ἐρομένου, δι' ἣν τοῦτο πράττει, ἔλεγεν, ὅτι θερμαίνει τὰς χεῖρας διὰ τὸ κρύος. Ὕστερον δὲ παρατεθείσης αὐτοῖς τραπέζης καὶ προσφαγήματος θερμοῦ σφόδρα ὄντος, ὁ ἄνθρωπος ἀναιρούμενος κατὰ μικρὸν τῷ στόματι προσέφερε καὶ ἐφύσα· πυνθανομένου δὲ πάλιν τοῦ Σατύρου, τί τοῦτο ποιεῖ; ἔφασκε καταψύχειν τὸ ἔδεσμα, ἐπεὶ λίαν θερμόν ἐστι. Κἀκεῖνος ἔφη πρὸς αὐτὸν, ἀλλ' ἀποτάσσομαί σου τῇ φιλίᾳ, ὦ οὗτος, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξιεῖς.

Ἀτὰρ οὖν καὶ ἡμᾶς περιφεύγειν δεῖ τὴν φιλίαν ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

XXXVI. Ἀνὴρ κακοπράγμων. (N. 16. Fl. 32. Cor. 16.)

Ἀνὴρ κακοπράγμων συνορισάμενος πρός τινα ψευδὲς ἐπιδείξειν τὸ ἐν Δελφοῖς μαντεῖον, ὡς ἐνέστη ἡ προθεσμία, λαβὼν στρουθίον εἰς τὴν χεῖρα, καὶ τοῦτο τῷ ἱματίῳ σκεπάσας, ἧκεν εἰς τὸ ἱερὸν, καὶ στὰς ἄντικρυς ἐπηρώτα, πότερόν τι ἔμπνουν ἔχει μετὰ χεῖρας ἢ ἄπνουν; βουλόμενος, ἐὰν μὲν ἄψυχον εἴπῃ, ζῶν τὸ στρουθίον

ἐπιδεῖξαι, ἐὰν δὲ ἔμπνουν, ἀποπνίξας προενεγκεῖν. Καὶ ὁ θεὸς συνεὶς αὐτοῦ τὴν κακοτεχνίαν εἶπεν, ἀλλ' ὦ οὗτος, πέπαυσο· ἐν σοὶ γάρ ἐστι τοῦτο ὃ ἔχεις ἢ νεκρὸν εἶναι ἢ ἔμψυχον.

Ὁ λόγος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαρεγχείριστόν ἐστι.

XXXVII. Ἀνὴρ πηρός. (N. 164. Fl., 17.)

Ἀνὴρ πηρὸς εἰώθει πᾶν τὸ ἐπιτιθέμενον εἰς τὰς χεῖρας αὐτῷ ζῶον ἐφαπτόμενος λέγειν, ὁποῖόν τι ἐστι. Καὶ δή ποτε λυκιδίου αὐτῷ ἐπιδοθέντος, ψηλαφήσας καὶ ἀμφιγνοὺς εἶπεν, Οὐκ οἶδα, πότερον κυνὸς εἴη ἢ ἀλώπεκος ἢ τοιούτου τινὸς ζώου γέννημα· τοῦτο μέντοι σαφῶς ἐπίσταμαι, ὅτι οὐκ ἐπιτήδειον τοῦτο τὸ ζῶον προβάτων ποίμνῃ συνιέναι.

Οὕτω τῶν πονηρῶν ἡ διάθεσις πολλάκις καὶ ἀπὸ τοῦ σώματος καταφαίνεται.

XXXVIII. Ἀρότης καὶ Λύκος.

Ἀρότης λύσας τὸ ζεῦγος ἐπὶ πότον ἀπήγαγε· λύκος δὲ λιμώττων καὶ τροφὴν ζητῶν ὡς περιέτυχε τῷ ἀρότρῳ, τὸ μὲν πρῶτον τὰς τῶν ταύρων ζεύγλας περιέλειχε, λαθὼν δὲ κατὰ μικρόν, ἐπεὶ καθῆκε τὸν αὐχένα, ἀνασπᾶν μὴ δυνάμενος, ἐπὶ τὴν ἄρουραν τὸ ἄροτρον ἔσυρεν. Ὁ δὲ ἀρότης ἐπανελθὼν καὶ θεασάμενος αὐτὸν ἔλεγεν, Εἴθε γάρ, ὦ κακὴ κεφαλή, καταλιπὼν τὰς ἁρπαγὰς καὶ τὸ ἀδικεῖν ἐπὶ τὸ γεωπονεῖν τραπείης.

Οὕτως οἱ πονηροὶ τῶν ἀνθρώπων κἂν χρηστότητα ἐπαγγέλλωνται, ψεύδονται.

XXXIX. Χελιδὼν καὶ Ὄρνιθες. (N. 290.)

Ἄρτι τοῦ ἰξοῦ φυομένου ἡ χελιδὼν αἰσθομένη τὸν ἐνιστάμενον τοῖς πτηνοῖς κίνδυνον, συναθροίσασα πάντα τὰ ὄρνεα, συνεβούλευεν αὐτοῖς μάλιστα μὲν ταῖς ἰξοφόροις δρυσὶν ἐκκόψαι, εἰ δ' ἄρα τοῦτο αὐτοῖς ἀδύνατον, ἐπὶ τοὺς ἀνθρώπους καταφυγεῖν, καὶ τούτους ἱκετεῦσαι, ὅπως μὴ χρησάμενοι τῇ τοῦ ἰξοῦ ἐνεργείᾳ συλλαμβάνωσιν αὐτά. Τῶν δὲ ἐγκαλεσάντων αὐτῇ ὡς ματαιολογούσῃ, αὕτη παραγενομένη ἱκέτις τῶν ἀνθρώπων ἐγένετο· οἱ δ' ἀποδεξάμενοι αὐτὴν ἐπὶ τῇ συνέσει, καὶ σύνοικον αὐτοῖς προσλαβόμενοι, οὕτω συνέβη, τὰ λοιπὰ ὄρνεα ὑπὸ τῶν ἀνθρώπων κατεσθίεσθαι, μόνην δὲ τὴν χελιδόνα ὡς πρόσφυγον καὶ ἐν ταῖς αὐτῶν οἰκίαις ἀδεῶς νεοττοποιεῖσθαι.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ τὰ μέλλοντα προορώμενοι εἰκότως τοὺς κινδύνους διακρούονται.

XL. Ἀστρολόγος. (N. 169. Fl. 19.)

Ἀστρολόγος ἐξιὼν ἑκάστοτε ἑσπέρας ἔθος εἶχε τοὺς ἀστέρας ἐπισκοπῆσαι· καὶ δή ποτε περιϊὼν εἰς τὸ προάστειον, καὶ τὸν νοῦν ὅλον ἔχων ἐν τῷ οὐρανῷ, ἔλαθε καταπεσὼν εἰς φρέαρ. Ὀδυρομένου δὲ αὐτοῦ καὶ βοῶντος, παριών τις ὡς ἤκουσε τῶν στεναγμῶν, προσελθὼν καὶ μαθὼν

τὰ συμβεβηκότα, ἔφη πρὸς αὐτὸν, Ὦ οὗτος, σὺ τὰ ἐν οὐρανῷ βλέπειν πειρώμενος τὰ ἐπὶ τῆς γῆς οὐχ ὁρᾷς.

Τῷ λόγῳ τούτῳ χρήσαιτο ἄν τις πρὸς ἐκείνους τῶν ἀνθρώπων, οἳ περὶ δόξης ἀλαζονεύοντες οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δύνανται.

XLI. Ἀλώπηξ καὶ Κύων. (N. 160. Fl. 18.)

Ἀλώπηξ εἰς ἀγέλην προβάτων εἰσελθοῦσα θηλαζόντων τῶν ἀρνῶν ἕνα λαβομένη προσεποιεῖτο καταφιλεῖν· ἐρωτηθεῖσα δὲ ὑπὸ κυνὸς, Τί τοῦτο ποιεῖς; Τιθηνοῦμαι αὐτὸ, ἔφη, καὶ προσπαίζω. Καὶ ὁ κύων ἔφη, Καὶ νῦν ἂν μὴ ἀφῇς τὸ ἀρνίον, τὰ κυνῶν σοι προσοίσω.

Πρὸς ἄνδρα ῥᾳδιουργὸν καὶ μωροκλέπτην ὁ λόγος εὔκαιρος.

XLII. Γεωργὸς καὶ Παῖδες αὐτοῦ. (N. 22. Fl. 33. Cor. 22.)

Ἀνὴρ γεωργὸς μέλλων τελευτᾷν καὶ βουλόμενος τοὺς αὐτοῦ παῖδας ἐμπείρους ποιῆσαι τῆς γεωργίας, μετακαλεσάμενος αὐτοὺς ἔφη, Τεκνία μου, ἐν ἑνί μου τῶν ἀμπελώνων θησαυρὸς ἀπόκειται. Οἱ δὲ μετὰ τὴν αὐτοῦ τελευτὴν ὕννας τε καὶ δικέλλας λαβόντες πᾶσαν αὐτῶν τὴν γεωργίαν ὤρυξαν, καὶ τὸν μὲν θησαυρὸν οὐχ εὗρον, ἡ δ' ἄμπελος πολλαπλάσιον τὴν φορὰν αὐτοῖς ἀντεδίδου.

Ὁ λόγος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

XLIII. *Βάτραχοι.* (N. 19. et 147. Flor. 38.)

Βάτραχοι δύο ξηρανθείσης τῆς λίμνης περιήεσαν ζητοῦντές που καταμεῖναι· ὡς δὲ ἐγένοντο κατά τι φρέαρ, ὁ ἕτερος συνεβούλευεν αὐτῷ ἀμελῶς ἅλλεσθαι· ὁ δὲ ἕτερος ἔλεγεν, ἐὰν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς δυνησόμεθα ἀναβῆναι;

Ὁ λόγος ἡμᾶς διδάσκει μὴ ἀπερισκέπτως προσέρχεσθαι τοῖς πράγμασι.

XLIV. *Βάτραχοι αἰτοῦντες βασιλέα.* (N. 170. Fl. 37. Cor. 167.)

Βάτραχοι λυπούμενοι ἐπὶ τῇ ἑαυτῶν ἀναρχίᾳ πρέσβεις ἔπεμψαν ἐπὶ τὸν Δία, δεόμενοι βασιλέα αὐτοῖς παρασχεῖν. Ὁ δὲ συνιδὼν τὴν εὐήθειαν, ξύλον εἰς τὴν λίμνην καθῆκε· καὶ οἱ βάτραχοι τὸ μὲν πρῶτον καταπλαγέντες τὸν ψόφον, ἑαυτοὺς εἰς τὰ βάθη τῆς λίμνης ἐδίδοσαν. Ὕστερον δὲ, ὡς ἀκίνητον ἦν τὸ ξύλον, ἀναδύναντες εἰς τοσοῦτον καταφρονησεως ἦλθον, ὡς ἐπιβαίνοντας αὐτῷ ἐπικαθέζεσθαι. Ἀναξιοπαθοῦντες δὲ τοιοῦτον ἔχειν βασιλέα, ἧκον ἐκ δευτέρου πρὸς τὸν Δία, καὶ τοῦτον παρεκάλουν ἀλλάξαι αὐτοῖς τὸν ἄρχοντα· τὸν γὰρ πρῶτον λίαν εἶναι νωχελῆ. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ᾽ αὐτῶν, ὕδραν αὐ-

τοῖς ἐπέπεμψεν, ὑφ᾽ ἧς συλλαμβανόμενοι κατησθίοντο.

Ὁ λόγος δηλοῖ, ὅτι ἄμεινόν ἐστι νωθεῖς καὶ μὴ πονηροὺς ἔχειν ἄρχοντας, ἢ ταρακτικοὺς καὶ κακούργους.

XLV. *Βόες καὶ Ἄξονες.* (N. 171. Fl. 59. Cor. 168.)

Βόες ἄμαξαν εἷλκον· τοῦ δὲ ἄξονος τρίζοντος, ἐπιστραφέντες ἔφασαν οὕτως πρὸς αὐτὸν, ὦ οὗτος, ἡμῶν τὸ ὅλον βάρος φερόντων, σὺ τί κράζεις;

[Οὕτω καὶ ἔνιοι ἑτέρων μοχθούντων αὐτοὶ προσποιοῦνται κάμνειν.]

XLVI. *Βορέας καὶ Ἥλιος.* (Hudson p. 245. Synt. 45. Cor. 306.)

Βορέας καὶ Ἥλιος περὶ δυνάμεως ἤριζον· ἔδοξε δὲ αὐτοῖς ἐκείνῳ τὴν νίκην ἀπονεῖμαι, ὃς ἂν αὐτῶν ἄνθρωπον ὁδοιπόρον ἐκδύσῃ. Καὶ ὁ Βορέας ἀρξάμενος σφοδρὸς ἦν· τοῦ δὲ ἀνθρώπου ἀντεχομένου τῆς ἐσθῆτος, μᾶλλον ἐπέκειτο. Ὁ δὲ ὑπὸ τοῦ ψύχους καταπονούμενος ἔτι μᾶλλον καὶ περιττοτέραν ἐσθῆτα προσελάμβανεν, ἕως ἀποκαμὼν τῷ Ἡλίῳ μετὰ τοῦτο παρέδωκε. Κἀκεῖνος τὸ μὲν πρῶτον μετρίως προσέλαμψε· τοῦ δὲ ἀνθρώπου τὰ περισσὰ τῶν ἱματίων ἀποτιθεμένου, σφοδρότερον τὸ καῦμα ἐπέτεινε, μέχρις οὗ πρὸς τὴν ἀλέαν ἀντέχειν μὴ δυνάμενος, ἀποδυσάμενος ποταμοῦ ῥέοντος ἐπὶ λουτρὸν ἀπῄει.

Ὁ λόγος δηλοῖ, ὅτι πολλάκις τὸ πείθειν τοῦ βιάζεσθαι ἀνυτικώτερόν ἐστι.

XLVII. *Παιδίον ἐσθίον σπλάγχνα.* (N. 266. Fl. 40. Cor. 262.)

Βοῦν τινες ἐπ' ἀγροῦ θύοντες τοὺς συγγενεῖς ἐκάλεσαν· ἐν δὲ τούτοις ἦν τις καὶ γυνὴ πενιχρά, μεθ' ἧς καὶ ἀλλοτρίας παῖς εἰσῆλθε. Προϊούσης τῆς εὐωχίας τὸ παιδίον διὰ χρόνου πληρωθὲν καὶ τῶν σπλάγχνων καὶ τοῦ οἴνου, ἐπειδὴ προσέστη αὐτῷ, καὶ δὴ βασανιζόμενον ἔλεγεν, Ὦ μῆτερ, ἐμῶ τὰ σπλάγχνα. Ἡ δὲ εἶπεν, Οὐχὶ τὰ σὰ, ὦ τέκνον, ἀλλ' ἃ κατέφαγες.

Οὗτος ὁ λόγος ἁρμόζει πρὸς ἄνδρα χρεωφειλέτην, ὅστις ἑτοίμως τὰ ἀλλότρια λαμβάνων, ὅταν ἀποτίνειν δέῃ, οὕτω ἀπέχθηται ὡς οἴκοθεν προϊέμενος.

XLVIII. *Βωταλὶς καὶ Νυκτερίς.* (N. 77.)

Βωταλὶς ἀπό τινος θυρίδος κρεμαμένη νυκτὸς ᾖδε· νυκτερὶς δὲ ἀφείλατο ἀπ' αὐτῆς τὴν φωνὴν, καὶ προσελθοῦσα ἐπυνθάνετο [ἀπ'] αὐτῆς τὴν αἰτίαν, δι' ἣν ἡμέρας μὲν ἡσυχάζει, νύκτωρ δὲ ᾄδει; Τῆς δὲ λεγούσης, ὡς οὐ μάτην τοῦτο πράττει· ἡμέρας γάρ ποτε ᾄδουσα συνελήφθη· διὰ τοῦτο ἀπ' ἐκείνου ἐσωφρονίσθη. Καὶ ἡ νυκτερὶς

εἶπεν, Ἀλλ᾽ οὐ νῦν σε δεῖ φυλάττεσθαι, ὅτε οὐδὲν ὄφελός ἐστι, τότε δὲ πρὶν καὶ συλληφθῆναι.

Ὁ λόγος δηλοῖ, ὅτι ἐπὶ τοῖς ἀτυχήμασι μετάνοια ἀνωφελὴς καθέστηκε.

XLIX. *Βουκόλος [εὐχόμενος τῷ Διΐ.]* (N. 131. Fl. 41. Synt. 12. Cor. p. 333.)

Βουκόλος βόσκων ἀγέλην ταύρων ἀπώλεσε μόσχον· περιελθὼν δὲ καὶ μὴ εὑρὼν ηὔξατο τῷ Διΐ, ἐὰν τὸν κλέπτην εὕρῃ, ἔριφον αὐτῷ θῦσαι. Ἐλθὼν δὲ εἴς τινα δρυμῶνα, καὶ θεασάμενος λέοντα κατεσθίοντα τὸν μόσχον, περίφοβος γενόμενος, ἐπάρας εἰς τὸν οὐρανὸν τὰς χεῖρας εἶπε· Δέσποτα Ζεῦ, πάλαι μέν σοι ηὐξάμην ἔριφον θῦσαι, ἐὰν τὸν κλέπτην εὕρω· νῦν δὲ ταῦρον θύσω, ἐὰν τὰς τοῦ κλέπτου χεῖρας ἐκφύγω.

Οὗτος ὁ λόγος λεχθείη ἂν κατ᾽ ἀνδρῶν δυστυχούντων, οἵτινες ἀπορούμενοι εὔχονται εὑρεῖν, εὑρόντες δὲ ζητοῦσιν ἀποφυγεῖν.

L. *Γαλῆ καὶ Ἀφροδίτη.* (N. 172. Fl. 48. Cor. 169. et p. 356.)

Γαλῆ ἐρασθεῖσα νεανίσκου εὐπρεποῦς ηὔξατο τῇ Ἀφροδίτῃ, ὅπως μεταμορφώσῃ εἰς γυναῖκα. Καὶ ἡ θεὸς ἐλεήσασα αὐτῆς τὸ πάθος μετετύπωσεν αὐτὴν εἰς κόρην εὐειδῆ· καὶ οὕτως ὁ νεανίσκος θεασάμενος αὐτὴν καὶ ἐρασθεὶς οἴκαδε ὡς ἑαυτὸν ἀπήγαγε. Καθημένων δὲ αὐτῶν ἐν τῷ θαλάμῳ, ἡ Ἀφροδίτη γνῶναι βουλομένη, εἰ μεταβαλοῦσα

τὸ σῶμα ἡ γαλῆ καὶ τὸν τρόπον κατήλλαξε, μῦν εἰς τὸ μέσον καθῆκεν· ἡ δὲ ἐπιλαθομένη τῶν παρόντων, ἐξαναστᾶσα ἀπὸ τῆς κοίτης τὸν μῦν ἐδίωκε, καταφαγεῖν θέλουσα. Καὶ ἡ θεὸς ἀγανακτήσασα κατ' αὐτῆς, πάλιν αὐτὴν εἰς τὴν ἀρχαῖον φύσιν ἀποκατέστησεν.

Οὕτως καὶ τῶν ἀνθρώπων οἱ φύσει πονηροὶ κατὰ πάντα, κἂν τὴν φύσιν ἀλλάξωσι, τὸν γοῦν τρόπον οὐ μεταλλάσσουσι.

LI. Γεωργὸς καὶ Ὄφις. (Nev. 141. Flor. 42 et 155.)

Γεωργοῦ παῖδα ὄφις ἑρπύσας ἀπέκτεινεν. Ὁ δὲ ἐπὶ τούτῳ δεινοπαθήσας πέλεκυν ἀνέλαβε, καὶ παραγενόμενος εἰς τὸν φωλεὸν αὐτοῦ εἱστήκει, παρατηρούμενος, ὅπως, ἂν ἐξίῃ, εὐθέως αὐτὸν πατάξῃ. Παρακύψαντος δὲ τοῦ ὄφεως κατενεγκὼν τὸν πέλεκυν τοῦ μὲν διήμαρτε, τὴν δὲ παρακειμένην πέτραν διέκοψεν· εὐλαβηθεὶς δὲ ὕστερον παρεκάλει αὐτὸν, ὅπως αὐτῷ διαλλαγῇ· ὁ δὲ εἶπεν· Ἀλλ' οὔτε ἐγὼ δύναμαί σοι εὐνοῆσαι, ὁρῶν τὴν κεχαραγμένην πέτραν, οὔτε σὺ ἐμοὶ, ἀποβλέπων εἰς τὸν τοῦ παιδὸς τάφον.

Ὁ λόγος δηλοῖ, ὅτι αἱ μεγάλαι ἔχθραι οὐ ῥαδίως τὰς μεταλλαγὰς ἔχουσι.

LII. Γεωργὸς καὶ Κύνες. (N. 23. Flor. 43.)

Γεωργὸς ὑπὸ χειμῶνος ἐναποληφθεὶς ἐν τῇ ἐπαύλει, ἐπειδὴ οὐκ ἠδύνατο προελθὼν τροφὴν ἐ-

αυτῷ πορίσασθαι, τὸ μὲν πρῶτον τὰ πρόβατα κατέφαγεν· ἐπειδὴ δὲ ὁ χειμὼν ἐπέμενε, καὶ τὰς αἶγας κατεθοινήσατο· ἐκ τρίτου δὲ, ὡς οὐδεμία ἄνεσις ἐγίνετο, ἐπὶ τοὺς ἀροτῆρας βοῦς ἐχώρησεν. Οἱ δὲ κύνες θεασάμενοι τὰ πραττόμενα, ἔφασαν πρὸς ἀλλήλους, Ἀπιτέον ἡμῖν ἐντεῦθεν· ὁ δεσπότης γὰρ εἰ οὐδὲ τῶν συνεργαζομένων βοῶν ἀπέσχετο, ἡμῶν πῶς φείσεται;

Ὁ λόγος δηλοῖ, ὅτι δεῖ τούτους φυλάττεσθαι μάλιστα, οἳ οὐδὲ τῆς τῶν οἰκείων ἀδικίας ἀπέχονται.

LIII. *Γεωργοῦ Παῖδες.* (N. 174. Flor. 52.)

Γεωργοῦ παῖδες ἐστασίαζον· ὁ δ', ὡς πολλὰ παραινῶν οὐκ ἠδύνατο πεῖσαι αὐτοὺς λόγοις μεταβάλλεσθαι, ἔγνω δεῖν πρᾶγμα τοῦτο πρᾶξαι. Καὶ παρήνεσεν αὐτοῖς ῥάβδων δεσμίαν κομίσαι. Τῶν δὲ τὸ προσταχθὲν ποιησάντων, τὸ μὲν πρῶτον δοὺς αὐτοῖς ἀθρόας τὰς ῥάβδους ἐκέλευσε κατεάσσειν· ἐπειδὴ δὲ καὶ περιβιαζόμενοι οὐκ ἠδύναντο, ἐκ δευτέρου λύσας τὴν δέσμην ἀνὰ μίαν αὐτοῖς ῥάβδον ἐδίδου· τῶν δὲ ῥαδίως κατακλώντων, ἔφη, Ἀτὰρ οὖν καὶ ὑμεῖς, ὦ παῖδες, ἐὰν μὲν ὁμοφρονῆτε, ἀχείρωτοι τοῖς ἐχθροῖς ἔσεσθε· ἐὰν δὲ στασιάζητε, εὐάλωτοι.

Ὁ λόγος δηλοῖ, ὅτι τοσοῦτον ἰσχυρότερόν ἐστιν ἡ ὁμόνοια, ὅσον εὐκαταγώνιστος ἡ στάσις.

LIV. *Κοχλίαι.* (N. 78.)

Γεωργοῦ παῖς κοχλίας ὤπτα· ἀκούσας δὲ αὐτῶν τριζόντων, ἔφη, Ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων αὐτοὶ ᾄδετε.

Ὁ λόγος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπονείδιστον.

LV. *Γυνὴ καὶ Θεράπαιναι.* (N. 79. Fl. 44.)

Γυνὴ χήρα φιλεργὸς θεραπαινίδας ἔχουσα ταύτας εἰώθει νυκτὸς ἐπὶ τὰ ἔργα ἐγείρειν πρὸς ἀλεκτρυοφωνίαν· αἱ δὲ συνεχῶς καταπονούμεναι ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀλέκτορα ἀποπνῖξαι· ἐκεῖνον γὰρ ᾤοντο τῶν κακῶν αἴτιον εἶναι, νύκτωρ ἐγείροντα τὴν δέσποιναν. Συνέβη δὲ αὐταῖς τοῦτο πραξάσαις χαλεπωτέροις τοῖς δεινοῖς περιπεσεῖν· ἡ γὰρ δέσποινα ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων φωνὴν, νυκτερινὰς ταύτας ἐξήγειρε.

Οὕτω πολλοῖς ἀνθρώποις τὰ ἴδια βουλεύματα κακῶν αἴτια γίνεται.

LVI. *Γυνὴ μάγος.* (N. 80. Fl. 45.)

Γυνὴ μάγος ἐπῳδὰς θείων μηνιμάτων ἐπαγγελλομένη διετέλει πολλὰ ποιοῦσα, κἀκ τούτου οὐ μικρὰ βιοπορισθεῖσα. Ἐπὶ τούτῳ γραψάμενοί τινες αὐτὴν ὡς καινοτομήσασαν περὶ τὰ θεῖα εἰς δίκην ὑπήγαγον, καὶ κατηγορήσαντες κατεδίκασαν αὐτὴν ἐπὶ θανάτῳ. Θεασάμενος δέ τις αὐτὴν ἐκ τῶν δικαστηρίων, ἔφη αὐτῇ, Πῶς δαιμό-

των ὀργὰς τρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπους πεῖσαι ἠδυνήθης;

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς γυναῖκα πλάνον, ἥτις τὰ μείζονα κατεπαγγελλομένη τοῖς μετρίοις ἀδύνατος ἀπελέγχεται.

LVII. *Γραῦς καὶ Ἰατρός.* (N. 21. Fl. 46. Cor. 21.)

Γυνὴ πρεσβῦτις τοὺς ὀφθαλμοὺς νοσοῦσα ἰατρὸν ἐπὶ μισθῷ παρεκάλεσεν· ὁ δὲ εἰσιὼν, ὁπότε αὐτὴν ἔχριε, διετέλει ἐκείνης συμμυούσης καθ᾽ ἓν ἕκαστον τῶν σκευῶν ὑφαιρούμενος. Ἐπεὶ δὲ πάντα ἐκφορήσας κἀκείνην ἐθεράπευσεν, ἀπῄτει τὸν συναχθέντα μισθόν. Μὴ βουλομένης δ᾽ αὐτῆς ἐπιδοῦναι, ἤγαγεν αὐτὴν ἐπὶ τοὺς ἄρχοντας· ἡ δὲ ἔλεγε, τὸν μὲν μισθὸν ὑπισχνεῖσθαι, ἐὰν θεραπεύσῃ αὐτῆς τὰς ὁράσεις· νῦν δὲ χεῖρον διατεθῆναι· τότε μὲν γὰρ ἔβλεπον, ἔφη, πάντα τὰ ἐπὶ τῆς οἰκίας μου σκεύη, νῦν δὲ οὐδὲν ἰδεῖν δύναμαι.

Οὕτως οἱ πονηροὶ τῶν ἀνθρώπων διὰ πλεονεξίαν λανθάνουσι καθ᾽ ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

LVIII. *Γυνὴ καὶ Ὄρνις.* (N. 24. Fl. 47. Synt. 42.)

Γυνὴ χήρα ὄρνιν ἔχουσα, καθ᾽ ἑκάστην ἡμέραν ᾠὸν τίκτουσαν, ὑπέλαβεν, ὅτι ἐὰν πλείονα τροφὴν αὐτῇ παραβάλῃ, καὶ δὶς τῆς ἡμέρας τέξεται.

Καὶ δὴ τοῦτο αὐτῆς ποιησάσης, συνέβη τὴν ὄρνιν πίονα γενομένην μηκέτι μηδὲ ἅπαξ τίκτειν.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ πλειόνων τῶν ἀνθρώπων διὰ πλεονεξίαν [περιττοτέραν] ἐπιθυμοῦντες καὶ τὰ παρόντα ἀπολλύουσι.

LIX. *Γαλῆ.* (N. 81. Fl. 49. Synt. 5.)

Γαλῆ εἰσελθοῦσα εἰς χαλκέως ἐργαστήριον, τὴν ἐκεῖ κειμένην ῥίνην περιέλειχε. Συνέβη δὲ ἐκτριβομένης τῆς γλώττης πολὺ αἷμα φέρεσθαι. Ἡ δὲ γαλῆ ὑπονοοῦσά τι τοῦ σιδήρου ἀφαιρεῖσθαι, μέχρι παντελῶς ἀπέβαλε τὴν γλῶτταν, διέλειχεν.

Ὁ λόγος εἴρηται πρὸς τοὺς ἐν φιλονεικίᾳ ἑαυτοὺς καταβάλλοντας καὶ βλαπτομένους.

LX. *Γέρων καὶ Θάνατος.* (N. 20. et 146. Fl. 50. Synt. 2. Cor. 20.)

Γέρων ποτὲ ξύλα κόψας καὶ ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε. Διὰ δὲ τὸν κόπον τῆς ὁδοῦ ἀποθέμενος τὸ φορτίον τὸν θάνατον ἐπεκαλεῖτο· τοῦ δὲ Θανάτου φανέντος καὶ πυθομένου, δι' ἣν αἰτίαν αὐτὸν παρακαλεῖται, ὁ γέρων ἔφη, Ἵνα τὸ φορτίον ἄρῃς· θανεῖν δὲ οὐ θέλω.

Ὁ λόγος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος ἐν τῷ βίῳ, κἂν δυστυχῇ.

LXI. *Γεωργὸς καὶ Τύχη.* (N. 82. Fl. 51.)

Γεωργὸς εὑρὼν χρυσίον ἐν τῇ γῇ σκάπτων ἔστεφε

τὴν Γῆν καθ' ἡμέραν ὡς εὐεργετηθεὶς ὑπ' αὐτῆς. Τούτῳ δὲ ἐπιστᾶσα φησὶν ἡ Τύχη, Ὦ οὗτος, τί τῇ Γῇ τὸ ἐμὸν δῶρον προστίθης; ὅπερ ἐγὼ δέδωκα πλουτεῖν σε βουλομένη· ἂν γὰρ ὁ καιρὸς μεταλλάξῃ τὴν φύσιν, καὶ εἰς ἄλλας χρείας μοχθηρὰς ἐξαναλώσῃ, οὐ τὴν Γῆν ἀλλὰ τὴν Τύχην μέμψῃ.

Ὁ μῦθος οὗτος δηλοῖ, ὅτι χρὴ γινώσκειν τὸν εὐεργέτην, καὶ τούτῳ χάριτας μεγάλας ἀποδιδόναι.

LXII. *Γεωργὸς καὶ Ὄφις.* (N. 173. Fl. 130. Synt. 25.)

Γέρων τὶς γεωργὸς χειμῶνος ὥρᾳ ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον ἐλεήσας καὶ λαβὼν ὑπὸ κόλπων ἔθετο. Θερμανθεὶς δὲ ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν, ἔπληξε τὸν εὐεργέτην καὶ ἀνεῖλε· θνήσκων δὲ ἔλεγε, Δίκαια πάσχω, τὸν πονηρὸν οἰκτείρας.

Ὁ λόγος δηλοῖ, ὅτι ἀμετάθετοί εἰσιν αἱ πονηρίαι, κἂν τὰ μέγιστα φιλανθρωπεύωνται.

LXIII. *Δημάδης ῥήτωρ.* (Nev. 181. Fl. 54.)

Δημάδης ὁ ῥήτωρ δημηγορῶν ποτε ἐν Ἀθήναις, ἐκείνων δὲ μὴ πάντῃ προσεχόντων, ἐδεήθη αὐτῶν, ὅπως ἐπιτρέψωσι αὐτῷ Αἰσώπειον μῦθον εἰπεῖν. Τῶν δὲ προτρεψαμένων, αὐτὸς ἀρξάμενος ἔλεγε· Δημήτρα καὶ χελιδὼν καὶ ἔγχελυς τὴν αὐτὴν ἐβάδιζον ὁδόν· γενομένων δὲ αὐτῶν κατά τινα πο-

ταμὸν, ἡ μὲν χελιδὼν ἔπτη, ἡ δὲ ἔγχελυς κατέδυ· καὶ ταῦτα εἰπὼν ἐσιώπησεν. Ἐρομένων δ' αὐτῶν, Τί οὖν ἡ Δημήτρα ἔπαθεν; ἔφη, Κεχόλωται ὑμῖν, οἵτινες τὰ τῆς πόλεως πράγματα ἐάσαντες Αἰσώπειον μῦθον ἀνέχεσθε.

Οὕτω καὶ τῶν ἀνθρώπων ἀλόγιστοί εἰσιν, ὅσοι μὲν τῶν ἀναγκαίων ὀλιγωροῦσι, τὰ δὲ πρὸς ἡδονὴν μᾶλλον αἱροῦνται.

LXIV. Κυνόδηκτος. (N. 25. Flor. 55. Synt. 56.)

Δηχθείς τις ὑπὸ κυνὸς ἐζήτει τὸν ἰασόμενον· εἰπόντος δέ τινος οὕτως, ὡς ἄρα δέοι αὐτὸν ἄρτῳ τὸ αἷμα ἐκμάξαντα τῷ δακόντι κυνὶ βαλεῖν, ὑποτυχὼν δὲ ὁ δηχθεὶς ἔφη, Ἀλλ' ἐὰν τοῦτο πράξω, δεήσει με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δάκνεσθαι.

Οὕτως ἡ τῶν ἀνθρώπων φύσις δελεαζομένη ἔτι μᾶλλον ἀδικεῖν παροξύνεται.

LXV. Ὁδοιπόροι καὶ Ἄρκτος. (N. 253. Fl. 57. Cor. 249.)

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον· ἄρκτου δὲ ἐν τῇ ὁδῷ φανείσης, ὁ μὲν εἷς ἀνέβη ἐπί τι δένδρον, κἀκεῖ κατεκρύπτετο· ὁ δὲ ἕτερος μέλλων περικατάληπτος γενέσθαι, ἐπὶ τοῦ ἐδάφους πεσὼν νεκρὸν ἑαυτὸν προσεποιεῖτο. Τῆς δὲ ἄρκτου προσενεγκού-

σης αὐτῷ τὸ ῥύγχος, καὶ περιοσφραινομένης αὐτὰς τὰς ἀναπνοὰς, οὗτος συνεῖχεν αὐτάς· φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῶον. Ἀπαλλαγείσης δὲ ὁ ἀπὸ τοῦ δένδρου καταβὰς ἐπυνθάνετο, Τί ἡ ἄρκτος πρὸς τὸ οὖς εἴρηκεν; Ὁ δὲ εἶπεν, τοιούτοις τοῦ λοιποῦ μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παραμένουσι.

Ὁ λόγος δηλοῖ, ὅτι τοὺς γνησίους τῶν φίλων αἱ συμφοραὶ δοκιμάζουσι.

LXVI. *Νεανίσκοι καὶ Μάγειρος.* (N. 26.)

Δύο νεανίσκοι ἐν ταὐτῷ κρέας ὠνοῦντο· καὶ δὴ τοῦ μαγείρου περισπασθέντος, ὁ ἕτερος ὑφελόμενος τὸ κρέας εἰς τοῦ ἑτέρου τὸν κόλπον καθῆκεν αὐτό. Ἐπιστραφέντος δὲ τοῦ μαγείρου καὶ ἐπιζητοῦντος ἐκεῖνόν τε αἰτιωμένου, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων μὴ εἰληφέναι· καὶ ὁ μάγειρος αἰσθόμενος αὐτῶν τὴν κακοτεχνίαν, ἔφη· Ἀλλὰ κἂν ἐμὲ λάθητε ἐπιορκοῦντες, θεοὺς μέντοι οὐ λήσεσθε.

Ὁ λόγος δηλοῖ, ὅτι αὐτή ἐστιν ἡ ἀσέβεια τῆς ἐπιορκίας, κἂν αὐτήν τις κατασκευάζηται.

LXVII. *Ὁδοιπόροι.* (N. 83.)

Δύο τινὲς ἐν τῇ αὐτῇ ὡδοιπόρουν· θατέρου δὲ πέλεκυν εὑρόντος, τῷ ἑτέρῳ, τῷ μὴ εὑρόντι αὐτὸν, παρῄνει μὴ λέγειν εὑρήκαμεν, ἀλλ' εὕρηκα.

Μετὰ μικρὸν δὲ ἐπανελθόντων αὐτοῖς τῶν ἀποβεβληκότων τὸν πέλεκυν, ὁ ἔχων αὐτὸν διωκόμενος πρὸς τὸν μὴ εὑρόντα ἔλεγεν, Ἀπολώλαμεν· κἀκεῖνος ὁ μὴ εὑρὼν ἔφη, Ἀλλ' ἀπόλωλα εἰπέ· οὐ γὰρ ὅτε τὸν πέλεκυν εὗρες, ἔλεγες εὑρήκαμεν.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ μὴ μεταλαβόντες τῶν εὐτυχημάτων ἀλλ' οὐδὲ ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

LXVIII. Ἐχθροί. (N. 27. Fl. 58.)

Δύο ἐχθροὶ ἐν μιᾷ νηῒ ἔπλεον· βουλόμενοι δ' ἀλλήλων πολὺ διεζεῦχθαι, ὥρμησαν ὁ μὲν ἐπὶ τὴν πρώραν, ὁ δὲ ἐπὶ τὴν πρύμναν, καὶ ἐνταῦθα ἔμενον. Χειμῶνος δὲ σφοδροῦ καταλαβόντος, καὶ τῆς νηὸς περιτρεπομένης, ὁ ἐν τῇ πρύμνῃ ἐπυνθάνετό τινος, περὶ ποῖον μέρος καταδύεται τὸ σκάφος πρῶτον κινδυνεῦον· τοῦ δὲ εἰπόντος, Κατὰ τὴν πρώραν, ἔφη· Ἀλλ' ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατός ἐστιν, εἴγε ὁρᾷν μέλλω τὸν ἐχθρόν μου προαποπνιγόμενον.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ τὴν πρὸς ἐχθροὺς δυσμένειαν αἱροῦνται καὶ αὐτοὶ τὸ δεινὸν πάσχειν, χάριν τοῦ κἀκείνους ὁρᾷν δυστυχήσαντας.

LXIX. Βάτραχοι. (N. 84. Fl. 38. Cor. 19.)

Δύο βάτραχοι ἀλλήλοις ἐγειτνίαζον· ἐνέμοντο δὲ ὁ μὲν βαθεῖαν καὶ τῆς ὁδοῦ πόῤῥω λίμνην, ο

δὲ ἐν ὁδῷ μικρὸν ὕδωρ ἔχων. Καὶ δὴ τοῦ ἐν τῇ λίμνῃ παραινοῦντος θάτερον μεταβῆναι πρὸς αὐτὸν, ἵνα καὶ ἀμείνονος καὶ ἀσφαλεστέρας διαίτης ἀπολαύῃ, ἐκεῖνος οὐκ ἐπείθετο λέγων, δυσαποσπάστως ἔχειν τῆς τοῦ τόπου συνηθείας· ἕως οὗ συνέβη ἅμαξαν τῇδε παριοῦσαν ὀλέσαι αὐτόν.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιτηδεύμασιν ἐνδιατρίβοντες φθάνουσιν ἀπολλύμενοι, πρὶν ἢ ἐπὶ τὰ καλλίονα τραπέσθαι.

LXX. *Δρῦς καὶ Κάλαμος.* (N. 143. Fl. 59. et 180. Cor. 143. et p. 342.)

Δρῦς καὶ κάλαμος ἤριζον περὶ ἰσχύος· ἀνέμου δὲ σφοδροῦ γενομένου, ὁ μὲν κάλαμος ἀνακλώμενος καὶ συγκλινόμενος ταῖς τούτου πνοαῖς τὴν ἐκρίζωσιν ἐξέφυγεν, ἡ δὲ δρῦς ἀντιστᾶσα ἐκ ῥιζῶν ἔπεσεν.

Ὁ λόγος δηλοῖ, ὅτι οὐ δεῖ τοῖς κρείττοσιν ἐρίζειν ἢ ἀνθίστασθαι.

LXXI. *Λέοντα χρυσοῦν εὑρὼν ἄνθρωπος.* (N. 220.)

Δειλὸς φιλάργυρος λέοντα χρυσοῦν εὑρὼν ἔλεγεν, Οὐκ οἶδα τίς γενήσομαι ἐν τοῖς παροῦσιν· ἐγὼ ἐκβέβλημαι τῶν φρενῶν, καὶ τί πράττειν οὐκ ἔχω· μερίζει με φιλοχρηματία καὶ τῆς φύσεως ἡ δειλία. Ποία γὰρ τύχη ἢ ποῖος δαίμων εἰργάσατο χρυσοῦν λέοντα· ἡ μὲν γὰρ ἐμὴ ψυχὴ πρὸς τὸν

παρόντα ἑαυτῇ πολεμεῖ· ἀγαπᾷ μὲν τὸν χρυσὸν, δέδοικε δὲ τοῦ χρυσοῦ τὴν ἐργασίαν· ἅπτεσθαι μὲν ἐλαύνει ὁ πόθος, ἀπέχεσθαι δὲ ὁ τρόπος. Ὦ τύχης διδούσης καὶ μὴ λαμβάνεσθαι συγχωρούσης! Ὦ θησαυρὸς ἡδονὴν μὴ ἔχων! Ὦ χάρις δαίμονος ἄχαρις γενομένη! Τί οὖν; ποίῳ τρόπῳ χρήσομαι; ἐπὶ ποίαν ἔλθω μηχανήν; ἄπειμι τοὺς οἰκέτας δεῦρο κομίσων, λαβεῖν ὀφείλοντας τῇ πολυπληθεῖ συμμαχίᾳ· κἀγὼ πόῤῥω ἔσομαι θεατής.

Ὁ λόγος ἁρμόζει πρός τινα πλούσιον, μὴ τολμῶντα προσψαῦσαι καὶ χρήσασθαι τῷ πλούτῳ.

LXXII. *Δελφῖνες καὶ Κωβιός.* (N. 180. Flor. 53.)

Δελφῖνες καὶ φάλαιναι πρὸς ἀλλήλους ἐμάχοντο· ἐπὶ πολὺ δὲ τῆς διαφορᾶς σφοδρυνομένης, κωβιὸς ἀνέβη καὶ αὐτοὺς ἐπειρᾶτο διαλύειν. Εἷς δέ τις τῶν δελφίνων ὑποτυχὼν ἔφη πρὸς αὐτὸν, Ἀλλ' ἡμῖν ἀνεκτότερόν ἐστι μαχομένοις ὑπ' ἀλλήλων διαφθαρῆναι, ἢ σοῦ διαλλάκτου τυχεῖν.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, ὅταν ταραχῆς λάβωνται, δοκοῦσί τινες εἶναι, καὶ ταῦτα μηδενὸς ἄξιοι ὄντες.

LXXIII. *Μελιτουργός.* (N. 85.)

Εἰς μελιτουργοῦ τις μετελθὼν ἐκείνου ἀπόντος τὸ μέλι καὶ τὰ κηρία ἀφείλετο· ὁ δὲ ἐπανελθὼν, ἐπειδὴ ἐθεάσατο ἐρήμους τὰς κυψέλλας, εἱστήκει

ταύτας διερευνῶν. Αἱ δὲ μέλισσαι ἐπανελθοῦσαι ἀπὸ τῆς νομῆς ὡς κατέλαβον αὐτὸν, παίουσαι τοῖς κέντροις τὰ πάνδεινα διετίθεσαν· κἀκεῖνος ἔφη πρὸς αὐτὰς, Ὦ κάκιστα ζῶα, ὑμεῖς τὸν κλέψαντα ὑμῶν τὰ κηρία ἀθῶον ἀφήκατε, ἐμὲ δὲ τὸν ἐπιμελούμενον ὑμῶν τύπτετε.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων δι' ἄγνοιαν τοὺς ἐχθροὺς μὴ φυλαττόμενοι τοὺς φίλους ὡς ἐπιβούλους ἀπωθοῦνται.

LXXIV. Δελφὶς καὶ Πίθηκος. (N. 88.)

Ἔθος ἐστὶ τοῖς πλέουσιν ἐπάγεσθαι κύνας τε Μελιταίους καὶ πιθήκους πρὸς παραμυθίαν τοῦ πλοῦ· καὶ δή τις πλεῖν μέλλων πίθηκον συνανήνεγκε. Γενομένων δ' αὐτῶν κατὰ τὸ Σούνιον, (ἐστὶ δὲ τοῦτο Ἀθηναίων ἀκρωτήριον,) συνέβη χειμῶνα σφοδρὸν γενέσθαι. Περιτραπείσης δὲ τῆς νηὸς, καὶ πάντων διακολυμβώντων, καὶ ὁ πίθηκος ἐνήχετο. Δελφὶν δὲ θεασάμενος αὐτὸν, οἰόμενος ἄνθρωπον εἶναι, [ὑπελθὼν ἀνεῖχε διακομίζων ἐπὶ τὴν χέρσον. Ὡς δὲ κατὰ τὸν Πειραιᾶ ἐγένετο, τὸ τῶν Ἀθηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ πιθήκου, εἰ τὸ γένος ἐστὶν Ἀθηναῖος· τοῦ δὲ εἰπόντος καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων, ἐπανήρετο, εἰ καὶ τὸν Πειραιᾶ ἐπίσταται. Ὑπολαβὼν δὲ ὁ πίθηκος περὶ ἀνθρώπου αὐτὸν λέγειν,] ἔφασκε καὶ φίλον αὐτὸν καὶ συνήθη γενέσθαι. Καὶ ὁ δελφὶν ἀγανακτήσας κατὰ τῆς αὐτοῦ ψευδολογίας βαπτίζων ἀπέκτεινεν.

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρας, οἳ τοὺς εὐεργέτας αὐτῶν διαψεύδεσθαι βούλονται.

LXXV. Ἔλαφος καὶ Λέων. (N. 184. Fl. 66. Synt. 15. Cor. 181. et p. 365.)

Ἔλαφος δίψει συσχεθεῖσα παρεγένετο ἐπί τινα πηγήν· πιοῦσα δὲ ὡς ἐθεάσατο τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ἐπὶ μὲν τοῖς κέρασιν ἠγάλλετο, ὁρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν, ἐπὶ δὲ τοῖς ποσὶ σφόδρα ἤχθετο ὡς λεπτοῖς οὖσι καὶ ἀσθενέσιν. Ἔτι δ' αὐτῆς διανοουμένης, λέων ἐπιφανεὶς ἐδίωκεν αὐτὴν, κᾀκείνη εἰς φυγὴν τραπεῖσα κατὰ πολὺ αὐτοῦ προεῖχε. Μέχρι μὲν οὖν ψιλὸν ἦν τὸ πεδίον, ἡ μὲν προθέουσα ἐσώζετο· ἐπεὶ δὲ ἐγένετο κατά τινα ὑλώδη τόπον, τηνικαῦτα συνέβη τῶν κεράτων αὐτῆς ἐμπλακέντων τοῖς κλάδοις, μὴ δυναμένην τρέχειν, συλληφθῆναι τῷ λέοντι. Μέλλουσα δὲ ἀναιρεῖσθαι ἔφη πρὸς ἑαυτὴν, Δειλαία ἐγὼ, ἥτις, ὑφ' ὧν μὲν ᾠόμην προδοθήσεσθαι, ἐσωζόμην ὑπὸ τούτων, οἷς δὲ καὶ σφόδρα ἐπεποίθειν, ὑπὸ τούτων ἀπωλόμην.

Οὕτω πολλάκις ἐν κινδύνοις οἱ μὲν ὕποπτοι τῶν φίλων σωτῆρες ἐγένοντο, οἱ δὲ σφόδρα ἐμπιστευθέντες προδόται.

LXXVI. Ἔλαφος. (N. 63. Fl. 63.)

Ἔλαφος πηρωθεῖσα τὸν ἕτερον ὀφθαλμὸν παρεγένετο εἴς τινα αἰγιαλὸν, καὶ ἐνταῦθα ἐνέμετο,

τὸν μὲν ὁλόκληρον ὀφθαλμὸν εἰς τὴν γῆν ἔχουσα, καὶ τὴν τῶν κυνηγῶν ἔφοδον παρατηρουμένη, τὸν δὲ πεπηρωμένον ἐν τῇ θαλάσσῃ· ἔνθεν γὰρ οὐδένα ὑφωρᾶτο κίνδυνον. Καὶ δή τινες παραπλέοντες τὸν τόπον καὶ θεασάμενοι αὐτὴν κατηυστόχησαν· καὶ ἐπειδὴ ἐλειποψύχει, εἶπε πρὸς ἑαυτὴν, Ἀλλ' ἔγωγε ἀθλία, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη πολὺ χαλεπωτέραν ἔσχον τὴν θάλασσαν, ἐφ' ἣν κατέφυγον.

Οὕτω πολλάκις παρὰ τὴν ἡμετέραν ὑπόληψιν τὰ μὲν χαλεπὰ τῶν πραγμάτων δοκοῦντα εἶναι ὠφέλιμα εὑρίσκονται, τὰ δὲ νομιζόμενα σωτήρια ἐπισφαλῆ.

LXXVII. Ἔλαφος καὶ Λέων. (N. 64. Heusing. p. 55. Fl. 64. Cor. 64.)

Ἔλαφος κυνηγοὺς φεύγουσα ἐγένετο κατά τι σπήλαιον, ἐν ᾧ λέων ἦν, καὶ ἐνταῦθα εἰσῄει κρυβησομένη· συλληφθεῖσα δὲ ὑπὸ τοῦ λέοντος καὶ ἀναιρουμένη εἶπε, Δυσδαίμων ἐγὼ, ἥτις ἀνθρώπους φεύγουσα ἐμαυτὴν θηρίῳ ἐνεχείρισα.

Οὕτως ἔνιοι τῶν διὰ φόβον ἐλαττόνων κινδύνων ἑαυτοὺς εἰς μείζονα κακὰ εἰσιᾶσιν.

LXXVIII. Ἔλαφος καὶ Ἄμπελος. (N. 65. Fl. 65.)

Ἔλαφος διωκομένη ὑπὸ κυνηγῶν ἐκρύπτετο ὑπό τινα ἄμπελον· διελθόντων δὲ τῶν κυνηγῶν

στραφεῖσα τὰ φύλλα τῆς ἀμπέλου κατήσθιεν. Εἷς δέ τις τῶν κυνηγῶν στραφεὶς καὶ θεασάμενος, ὡς εἶχεν, ἀκοντίῳ βαλὼν ἔτρωσεν αὐτήν· ἡ δὲ μέλλουσα τελευτᾷν, στενάξασα πρὸς ἑαυτὴν ἔφη, Δίκαια πάσχω, ὅτι τὴν σώσασάν με ἄμπελον ἠδίκησα.

Οὗτος ὁ λόγος λεχθείη ἂν κατ' ἀνδρῶν, οἵτινες τοὺς εὐεργέτας ἀδικοῦντες ὑπὸ θεοῦ κολάζονται.

LXXIX. *Πλέοντες.* (N. 272.)

LXXX. *Αἴλουρος καὶ Μῦες.* (N. 28. Fl. 67.)

Ἔν τινι οἰκίᾳ πολλοὶ μῦες ἦσαν, αἴλουρος δὲ τοῦτο γνοὺς, ἧκεν ἐνταῦθα, καὶ συλλαμβάνων ἕνα ἕκαστον κατήσθιεν. Οἱ δὲ μῦες συνεχῶς ἀναλισκόμενοι κατὰ τῶν ὀπῶν ἔδυνον, καὶ ὁ αἴλουρος μηκέτι αὐτῶν ἐφικέσθαι δυνάμενος, δεῖν ἔγνω δι' ἐπινοίας αὐτοὺς ἐκκαλεῖσθαι. Διόπερ ἀναβὰς ἐπί τινα πάσσαλον καὶ ἑαυτὸν ἐνθένδε ἀποκρεμάσας προσεποιεῖτο νεκρόν. Τῶν δὲ μυῶν τις παρακύψας ὡς ἐθεάσατο αὐτὸν, εἶπεν, Ἀλλ', ὦ οὗτος, σύ γε κἂν θύλαξ γένῃ, οὐ προσελευσόμεθα.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ταῖς ὑποκρίσεσιν [οὕτως] ἐξαπατῶνται.

LXXXI. *Μυῖαι.* (N. 89. Fl. 68.)

Ἔν τινι ταμείῳ μέλιτος ἐκχυθέντος μυῖαι

προσπτᾶσαι κατήσθιον· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίσταντο· ἐμπαγέντων δ' αὐτῶν τῶν ποδῶν, ὡς οὐκ ἠδύναντο ἀναπτῆναι, ἀποπνιγόμεναι ἔφασαν, Ἄθλιαι ἡμεῖς, αἳ διὰ βραχεῖαν ἡδονὴν ἀπολλύμεθα.

Οὕτω πολλάκις ἡ λιχνεία πολλῶν αἰτία κακῶν γίνεται.

LXXXII. Ἀλώπηξ καὶ Πίθηκος. (N. 29. Fl. 69.)

Ἐν συνόδῳ τῶν ἀλόγων ζώων πίθηκος ὀρχησάμενος καὶ εὐδοκιμήσας βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη· ἀλώπηξ δὲ αὐτῷ φθονήσασα ὡς ἐθεάσατο ἔν τινι παγίδι κρέας κείμενον, ἀγαγοῦσα αὐτὸν ἐνταῦθα ἔλεγεν, ὡς εὑροῦσα θησαυρὸν αὐτὴ μὲν οὐκ ἐχρήσατο, γέρας δὲ αὐτῷ τῆς βασιλείας τετήρηκε, καὶ παρήνει αὐτῷ λαβεῖν. Τοῦ δὲ ἀτημελήτως ἐπελθόντος, καὶ ὑπὸ τῆς παγίδος συλληφθέντος, αἰτιωμένου τε τὴν ἀλώπεκα ὡς ἐνεδρεύσασαν αὐτῷ, ἐκείνη ἔφη, Ὦ πίθηκε, σὺ δὲ τοιαύτην ψυχὴν ἔχων τῶν ἀλόγων ζώων βασιλεύσεις;

Οὕτως οἱ τοῖς πράγμασιν ἀπερισκέπτως ἐπιχειροῦντες σὺν τῷ δυστυχεῖς εἶναι καὶ γέλωτα ὀφλισκάνουσι.

LXXXIII. Ὄνος, Ἀλεκτρυὼν καὶ Λέων. (N. 66. Fl. 70.)

Ἔν τινι ἐπαύλει ὄνος καὶ ἀλεκτρυὼν ἦσαν·

λέων δὲ λιμώττων ὡς ἐθεάσατο τὸν ὄνον, οἷός τε ἦν εἰσελθὼν τοῦτον καταθοινήσασθαι. Περὶ δὲ τὸν ψόφον ἀλεκτρυόνος φθεγξαμένου, καταπτήξας, (φασὶ δὲ, τοὺς λέοντας πτήσσεσθαι πρὸς τὰς τῶν ἀλεκτρυόνων φωνὰς,) εἰς φυγὴν ἐτράπη. Καὶ ὁ ὄνος ἀναπτερωθεὶς κατ᾽ αὐτοῦ, εἴγε ἀλεκτρυόνα ἐφοβήθη, ἐξῆλθεν ὡς ἀποδιώξων αὐτόν· ὁ δὲ, ὡς μακρὰν ἐγένετο, κατέφαγεν αὐτόν.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι ταπεινουμένους τοὺς ἑαυτῶν ἐχθροὺς ὁρῶντες, καὶ διὰ τοῦτο καταθρασυνόμενοι, λανθάνουσιν ὑπ᾽ αὐτῶν ἀναλισκόμενοι.

LXXXIV. *Πίθηκος καὶ Κάμηλος.* (Fl. 71.)

Ἐν συνόδῳ τῶν ἀλόγων ζώων πίθηκος ἀναστὰς ὠρχεῖτο· σφόδρα δὲ αὐτοῦ εὐδοκιμοῦντος, καὶ ὑπὸ πάντων ἐπισημαινομένου, κάμηλος φθονήσασα ἠβουλήθη τῶν αὐτῶν ἐφικέσθαι· διόπερ ἐξαναστᾶσα ἐπειρᾶτο καὶ αὐτὴ ὀρχήσασθαι. Πολλὰ δὲ αὐτῆς ἄτοπα ποιησάσης, τὰ ζῶα ἀγανακτήσαντα ῥοπάλοις αὐτὴν παίοντα ἐξήλασε.

Πρὸς τοὺς διὰ φθόνον κρείττοσιν ἁμιλλωμένους καὶ σφαλλομένους ὁ λόγος εὔκαιρος.

LXXXV. *Κάνθαροι δύο.* (N. 201.)

Ἐν τινι νησιδίῳ ταῦρος ἐνέμετο· τῇ δὲ τούτου κόπρῳ κάνθαροι ἐτρέφοντο δύο· καὶ δὴ τοῦ χει-

μῶνος ἐφισταμένου ὁ εἷς ἔλεγε πρὸς τὸν ἕτερον, ὡς ἄρα βούλοιτο δὴ εἰς τὴν ἤπειρον διαπτᾶσθαι, ἵνα ἐκείνῳ μόνῳ ἡ τροφὴ ἱκανὴ ὑπάρχῃ, καὶ ὡς ἂν ἐκεῖσε ἐλθὼν τὸν χειμῶνα διαγένηται. Ἔλεγε δὲ, ὅτι, ἐὰν πολλὴν εὕρῃ τὴν νομὴν, καὶ αὐτῷ οἴσει. Παραγενόμενος δὲ εἰς τὴν χέρσον, καὶ καταλαβὼν πολλὴν μὲν κόπρον, ὑγρὰν δὲ, μένων ἐνταῦθα ἐτρέφετο. Τοῦ δὲ χειμῶνος διελθόντος πάλιν εἰς τὴν νῆσον διέπτη· ὁ δὲ ἕτερος θεασάμενος αὐτὸν λιπαρὸν καὶ εὐεκτοῦντα, ᾐτιάσατο αὐτὸν, διότι προϋποσχόμενος οὐδὲν ἐκόμισεν. Ὁ δὲ εἶπε, Μὴ ἐμὲ μέμφου, τὴν δὲ φύσιν τοῦ τόπου· ἐκεῖθεν γὰρ τρέφεσθαι μὲν οἷόν τε, φέρεσθαι δὲ οὐδέν.

Ὁ λόγος ἁρμόσειεν ἂν πρὸς ἐκείνους, οἳ τὰς φιλίας μέχρις ἑστιάσεως μόνον παρέχονται, περαιτέρω δὲ οὐδὲν τοὺς φίλους ὠφελοῦσιν.

LXXXVI. *Δέλφαξ καὶ Πρόβατα.* (N. 179. Fl. 131.)

Ἔν τινι ποίμνῃ δέλφαξ εἰσελθὼν ἐνέμετο· καὶ δή ποτε τοῦ ποιμένος συλλαμβάνοντος αὐτὸν, ἐκεκράγει τε καὶ ἀντέτεινε· τῶν δὲ προβάτων αὐτὸν αἰτιωμένων ἐπὶ τῷ βοᾷν, καὶ λεγόντων, Ἡμᾶς μὲν συνεχῶς συλλαμβάνει, καὶ οὐ κράζομεν· ἔφη πρὸς ταῦτα, Ἀλλ' οὐχ ὁμοία τῇ ὑμετέρᾳ ἡ ἐμὴ σύλληψις· ὑμᾶς γὰρ ἢ διὰ τὰ ἔρια ἀγρεύει ἢ διὰ τὸ γάλα· ἐμὲ δὲ διὰ τὸ κρέας.

Ὁ λόγος δηλοῖ, ὅτι εἰκότως ἐκεῖνοι ἀνοιμώζουσιν, οἷς ὁ κίνδυνος οὐ περὶ χρημάτων ἐστὶν, ἀλλὰ περὶ αὐτῆς σωτηρίας.

LXXXVII. *Κίχλα.* (N. 203. Fl. 73. Synt. 48.)

Ἔν τινι μυρσίνῃ ἡ κίχλα ἐνέμετο· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίστατο. Ἰξευτὴς δὲ παρατηρησάμενος ἐμφιλοχωροῦσαν ἰξεύσας συνέλαβε· καὶ δὴ μέλλουσα ἀναιρεῖσθαι ἔφη, Δειλαία εἰμὶ, ἥτις διὰ τροφῆς γλυκύτητα ζωῆς στερίσκομαι.

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ἄσωτον, διὰ ἡδυπάθειαν ἀπολωλεκότα ἑαυτόν.

LXXXVIII. *Χὴν χρυσοτόκος.* (N. 136. Fl. 153. Synt. 27.)

Ἑρμῆς θρησκευόμενος ὑπό τινος περιττῶς χῆνα αὐτῷ ἐχαρίσατο ὠὰ χρύσεα τίκτουσαν· ὁ δὲ οὐκ ἀναμείνας τὴν κατὰ μικρὸν ὠφέλειαν, ὑπολαβὼν δὲ, ὅτι πάντα τὰ ἐντὸς χρύσεα ἔχει ὁ χὴν, οὐδὲν μελλήσας ἔθυσεν αὐτήν. Συνέβη δ' αὐτὸν μὴ μόνον ὃ προσεδόκησε σφαλῆναι, ἀλλὰ καὶ τὰ ὠὰ ἀποβαλεῖν· τὰ γὰρ ἐντὸς πάντα σαρκώδη εὗρεν.

Οὕτως πολλάκις οἱ πλεονέκται δι' ἐπιθυμίαν πλειόνων καὶ τὰ ἐν χερσὶν ὄντα προΐενται.

LXXXIX. Ἑρμῆς καὶ Ἀγαλματοποιός. (N. 90.)

Ἑρμῆς γνῶναι βουλόμενος, ἐν τίνι τιμῇ παῤ ἀνθρώποις ἐστὶν, ἧκεν ἀφομοιωθεὶς ἀνθρώπῳ εἰς ἀγαλματοποιοῦ ἐργαστήριον· καὶ θεασάμενος Διὸς ἄγαλμα ἐπύθετο, πόσου· τοῦ δὲ εἰπόντος, Δραχμῆς, γελάσας ἠρώτα τῆς Ἥρας πόσου ἐστίν· εἰπόντος δὲ ἔτι μείζονος, θεασάμενος καὶ ἑαυτοῦ ἄγαλμα ὑπέλαβεν, ὅτι αὐτὸν, ἐπειδὴ καὶ ἄγγελός ἐστι καὶ ἐπικερδὴς, περὶ πολλοῦ οἱ ἄνθρωποι ποιοῦνται. Διὸ προσεπυνθάνετο ὁ Ἑρμῆς, καὶ ὁ ἀγαλματογλύφος ἔφη, Ἀλλ᾽ ἐὰν τούτους ἀγοράσῃς, τοῦτόν σοι προσθήκην δώσω.

Πρὸς ἄνδρα κενόδοξον, ἐν οὐδεμίᾳ μοίρᾳ παρὰ τοῖς ἄλλοις ὄντα ὁ λόγος ἁρμόζει.

XC. Ἑρμῆς καὶ Τειρεσίας. (N. 91.)

Ἑρμῆς βουλόμενος τὴν Τειρεσίου μαντικὴν πειρᾶσαι, εἰ ἀληθής ἐστι, κλέψας αὐτοῦ τοὺς βόας ἐξ ἀγροῦ, ἧκε πρὸς αὐτὸν εἰς ἄστυ, ὁμοιωθεὶς ἀνθρώπῳ, καὶ ἐπεξενώθη παῤ αὐτῷ. Προαπαγγελθείσης δὲ τῷ Τειρεσίᾳ τῆς τοῦ ζεύγους ἀπωλείας, παραλαβὼν τὸν Ἑρμῆν ἧκεν εἰς τὸ προάστειον, οἰωνόν τινα περὶ τῆς κλοπῆς σκεψόμενος. Καὶ τούτῳ παρῄνει λέγειν ὅ τι ἂν θεάσηται ὄρνεον, καὶ ὁ Ἑρμῆς τὸ μὲν πρῶτον θεασάμενος ἀετὸν, ἐξ ἀριστερῶν ἐπὶ δεξιὰ παριπτάμενον, ἀπήγγειλε αὐτῷ· τοῦ δὲ εἰπόντος,

μὴ πρὸς αὐτοὺς τοῦτον εἶναι, ἐκ δευτέρου ἰδὼν κορώνην, ἐπί τινος δένδρου καθημένην, καί ποτε μὲν ἄνω βλέπουσαν, ποτὲ δὲ εἰς γῆν κύπτουσαν, ἐδήλωσεν αὐτῷ. Ὁ δὲ ὑποτυχὼν ἔφη, Ἀλλ' αὕτη ἡ κορώνη διόμνυται τόν τε οὐρανὸν καὶ τὴν γῆν, ὅτι, ἂν θέλῃς, τοὺς ἐμαυτοῦ βόας ἀπολήψομαι.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα κλέπτην.

XCI. Ἔχις καὶ Ὕδρος. (N. 188.)

Ἔχις φοιτῶν ἐπί τινα κρήνην, ἔπινεν· ἡ δὲ ἐνταῦθα οἰκοῦσα ὕδρα ἐκώλυεν αὐτὸν, ἀγανακτοῦσα εἴγε μὴ ἀρκεῖται τῇ ἰδίᾳ νομῇ, ἀλλὰ καὶ ἐπὶ τὴν ἑαυτῆς δίαιταν ἀφικνεῖται. Ἀεὶ δὲ τῆς φιλονεικίας αὐξανομένης, συνέθεντο ὅπως εἰς μάχην ἀλλήλοις καταστῶσι, καὶ τοῦ νικῶντος ἥ τε τῆς γῆς καὶ τοῦ ὕδατος νομὴ γένηται. Ταξαμένων δ' αὐτῶν τὴν προθεσμίαν, οἱ βάτραχοι διὰ μῖσος τῆς ὕδρας παραγενόμενοι πρὸς τὸν ἔχιν παραθαῤῥύνουσιν αὐτὸν, ἐπαγγελλόμενοι καὶ αὐτοὶ συμμαχήσειν αὐτῷ. Ἐνσταθείσης δὲ τῆς μάχης ὁ μὲν ἔχις πρὸς τὴν ὕδραν ἐπολέμει, οἱ δὲ βάτραχοι μηδὲν περαιτέρω δυνάμενοι δρᾷν, μεγάλα ἐκεκράγεισαν, καὶ ὁ ἔχις νικήσας ᾐτιάσατο αὐτοὺς, ὅτι συμμαχήσειν αὐτῷ ὑποσχόμενοι παρὰ τὴν μάχην οὐ μόνον οὐκ ἐβοήθουν, ἀλλὰ καὶ ᾖδον. Οἱ δὲ ἔφασαν πρὸς αὐτὸν, Ἀλλ' εὖ ἴσθι, ὦ οὗτος,

ὅτι ἡ ἡμετέρα συμμαχία οὐ διὰ χειρῶν ἀλλὰ διὰ μόνης φωνῆς καθέστηκεν.

Ὁ λόγος δηλοῖ, ὅτι ἔνθα χειρῶν χρεία ἐστὶν, ἡ διὰ λόγων βοηθεία οὐδὲν λυσιτελεῖ.

XCII. *Κύων καὶ Δεσπότης.* (N. 216.)

Ἔχων τις κύνα Μελιταῖον καὶ ὄνον διετέλει ἀεὶ τῷ κυνὶ προσπαίζων· καὶ δὴ, εἴποτε ἔξω δειπνοίη, ἐκόμιζέ τι αὐτῷ, καὶ προσιόντι καὶ σαίνοντι παρέβαλλεν. Ὁ δὲ ὄνος φθονήσας προσέδραμε καὶ σκιρτῶν ἐλάκτισεν αὐτόν· καὶ ὁ δεσπότης ἀγανακτήσας ἐκέλευσε παίοντας αὐτὸν ἀγαγεῖν καὶ τῇ φάτνῃ προσδῆσαι.

Ὁ λόγος δηλοῖ, ὅτι οὐ πάντες πρὸς ταὐτὰ πεφύκασιν.

XCIII. *Κύνες δύο.* (N. 92.)

Ἔχων τις δύο κύνας τὸν μὲν θηρεύειν ἐδίδαξε, τὸν δὲ οἰκουρὸν ἐποίησε· καὶ δὴ, εἴ ποτε ὁ θηρευτικὸς ἐξιὼν πρὸς ἄγραν συνελάμβανέ τι, ἐκ τούτου μέρος καὶ τῷ ἑτέρῳ παρέβαλλεν. Ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ, καὶ τὸν ἕτερον ὀνειδίζοντος, εἴγε αὐτὸς μὲν ἐξιὼν διόλου μοχθοίη, ὁ δὲ οὐδὲν ποιῶν τοῖς ἑαυτοῦ πόνοις ἐντρυφᾷ, ἐκεῖνος ἔφη πρὸς αὐτὸν, Ἀλλὰ μὴ ἐμὲ μέμφου, τὸν δεσπότην δὲ, ὃς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλ᾽ ἀλλοτρίους πόνους ἐσθίειν.

Οὕτω καὶ τῶν παίδων οἱ ῥάθυμοι οὐ μεμπτέοι εἰσὶν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν.

XCIV. Ἔχις καὶ Ῥίνη. (N. 187.)

Ἔχις ἐλθὼν εἰς χαλκουργοῦ ἐργαστήριον παρὰ τῶν σκευῶν ἔρανον ᾔτει· λαβὼν δὲ παρ' αὐτῶν ἧκε πρὸς τὴν ῥίνην, καὶ ταύτην παρεκάλει δοῦναί τι αὐτῷ. Ἡ δὲ ὑποτυχοῦσα εἶπεν, Ἀλλ' εὐήθης εἶ παρ' ἐμοῦ ἀποίσεσθαί τι οἰόμενος, ἥτις οὐ διδόναι ἀλλὰ λαμβάνειν παρὰ πάντων εἴωθα.

Ὁ λόγος δηλοῖ, ὅτι μάταιοί εἰσιν οἱ παρὰ φιλαργύρων τι κερδαίνειν προσδοκῶσι.

XCV. Πατὴρ καὶ Θυγατέρες. (N. 269. Fl. 76. Cor. 265.)

Ἔχων τὶς δύο θυγατέρας τὴν μὲν κηπωρῷ ἐξέδωκε πρὸς γάμον, τὴν δὲ ἑτέραν κεραμεῖ. Χρόνου δὲ προελθόντος ἧκε πρὸς τὴν τοῦ κηπωροῦ, καὶ ταύτην ἠρώτα, πῶς ἔχοι, καὶ ἐν τίνι αὐτοῖς εἴη τὰ πράγματα. Τῆς δὲ εἰπούσης, πάντα μὲν αὐτοῖς παρεῖναι, ἓν δὲ τοῦτο εὔχεσθαι τοῖς θεοῖς, ὅπως χειμὼν γένηται καὶ ὄμβρος, ἵνα τὰ λάχανα ἀρδευθῇ· μετ' οὐ πολὺ παρεγένετο καὶ πρὸς τὴν τοῦ κεραμέως, καὶ οὕτως ἐπυνθάνετο, πῶς ἔχοι; τῆς δὲ τὰ μὲν ἄλλα μὴ ἐνδεῖσθαι εἰπούσης, τοῦτο δὲ μόνον εὔχεσθαι, ὅπως αἰθρία τε λαμπρὰ ἐπιμείνῃ καὶ λαμπρὸς ἥλιος, ἵνα ξηρανθῇ ὁ κέραμος, εἶπε πρὸς αὐτὴν, Ἐὰν σὺ μὲν εὐδίαν ἐπιζητῇς, ἡ δὲ ἀδελφή σου χειμῶνα, ποτέρᾳ ὑμῶν συνεύξομαι;

Οὕτως οἱ ἐν ταὐτῷ τοῖς ἀνομοίοις πράγμασιν ἐπιχειροῦντες εἰκότως περὶ τὰ ἑκάτερα πταίουσιν.

XCVI. Ἀνὴρ καὶ Γυνή. (N. 93.)

Ἔχων τὶς γυναῖκα πρὸς πάντας λίαν τὸ ἦθος ἀργαλέαν ἠβουλήθη γνῶναι, εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας ὁμοίως διάκειται· ὅθεν μετὰ προφάσεως εὐλόγου πρὸς τὸν πατέρα αὐτὴν ἔπεμψε. Μετὰ δὲ ὀλίγας ἡμέρας ἐλθούσης αὐτῆς ἐπυνθάνετο, πῶς αὐτὴν οἱ οἰκεῖοι προσεδέξαντο; Τῆς δὲ εἰπούσης, Οἱ βουκόλοι καὶ οἱ ποιμένες με ὑπεβλέποντο, ἔφη πρὸς αὐτὴν, Ἀλλ' ὦ γύναι, εἰ τούτοις ἀπήχθου, οἳ ὄρθρου μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσίασι, τί χρὴ προσδοκᾷν περὶ τούτων, οἷς πᾶσαν τὴν ἡμέραν συνδιέτριβες;

Οὕτω πολλάκις ἐκ τῶν μικρῶν τὰ μεγάλα καὶ ἐκ τῶν προδήλων τὰ ἄδηλα γνωρίζονται.

XCVII. Ἔχις καὶ Ἀλώπηξ. (N. 186. Cor. 183.)

Ἔχις ἐπὶ δέσμῃ ἀκανθῶν εἴς τινα ποταμὸν ἐφέρετο· ἀλώπηξ δὲ παριοῦσα ὡς ἐθεάσατο αὐτὸν, εἶπεν, Ἄξιος τῆς νηὸς ὁ ναύκληρος.

Πρὸς ἄνδρα πονηρὸν μοχθηροῖς πράγμασιν ἐγχειρήσαντα ὁ λόγος ἁρμόσειεν.

XCVIII. Ἔριφος καὶ Λύκος. (N. 94. Fl. 74.)

Ἔριφος ὑστερήσας ἀπὸ ποίμνης ὑπὸ λύκου κατεδιώκετο· ἐπιστραφεὶς δὲ ὁ ἔριφος λέγει τῷ λύκῳ, Πέπεισμαι, λύκε, ὅτι σὸν βρῶμά εἰμι· ἀλλ' ἵνα μὴ ἀδόξως ἀποθάνω, αὔλησον, ὅπως ὀρχήσομαι. Αὐλοῦντος δὲ τοῦ λύκου καὶ τοῦ ἐρίφου ὀρχουμένου, οἱ κύνες ἀκούσαντες καὶ ἐξελθόντες τὸν λύκον ἐδίωκον· ὁ δὲ ἐπιστραφεὶς λέγει τῷ ἐρίφῳ, Ταῦτα ἐμοὶ καλῶς γίνεται· ἔδει γάρ με, μακελλάριον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.

Οὕτως οἱ παρὰ γνώμην τοῦ καιροῦ τι πράττοντες καὶ ὧν ἐν χερσὶν ἔχουσιν ὑστεροῦνται.

XCIX. Ἀγαλματοπώλης. (N. 151. Fl. 128.)

Ἑρμῆν τις ξύλινον κατασκευάσας καὶ προσενεγκὼν εἰς ἀγορὰν ἐπώλει· μηδενὸς δὲ ὠνητοῦ προσιόντος, ἐκκαλέσασθαί τινας βουλόμενος, ἐβόα, ὡς ἀγαθὸν θεὸν καὶ κέρδους θεωρητικὸν πιπράσκει. Τῶν δὲ παρατυχόντων τὶς ἔφη, Ὦ ἄνθρωπει, τί τοιοῦτον εὐεργέτην ὄντα πωλεῖς; δέον ἐστὶ τῶν παρ' αὐτοῦ ὠφελειῶν ἀπολαύειν σε. Κἀκεῖνος ἀπεκρίνατο λέγων, ὅτι ταχείας τινὸς ὠφελείας ἐπιδέομαι· αὐτὸς δὲ βραδέως εἴωθε τὰ κέρδη ποιεῖν.

Ὁ λόγος δηλοῖ, ὅτι διδόασι κατὰ τῶν ἀμεινόνων τὰ θράση οἱ καιροί.

C. *Ζεὺς, Προμηθεὺς, Ἀθηνᾶ, Μῶμος.* (N. 193. Tyrwh. p. 39.)

Ζεὺς καὶ Προμηθεὺς καὶ Ἀθηνᾶ κατασκευάσαντες, ὁ μὲν ταῦρον, ὁ Προμηθεὺς ἄνθρωπον, ἡ δὲ οἶκον, Μῶμον κριτὴν εἵλοντο. Ὁ δὲ, φθονήσας τοῖς δημιουργήμασιν, ἀχθόμενος ἔλεγε, τὸν μὲν Δία ἡμαρτηκέναι τοῦ ταύρου τοὺς ὀφθαλμοὺς ἐπὶ τοῖς κέρασι μὴ θέντα, ἵνα βλέπῃ ποῦ τύπτει· τὸν δὲ Προμηθέα, διότι ἀνθρώπου τὰς φρένας οὐκ ἔξωθεν ἀπεκρέμασεν, ἵνα μὴ λανθάνωσιν οἱ πονηροὶ, φανεροῦντες, εἴτι ἕκαστος κατὰ νοῦν ἔχει. Τρίτον δὲ ἔλεγεν, ὡς ἔδει τὴν Ἀθηνᾶν τῷ οἴκῳ τροχοὺς ὑποθεῖναι, ἵνα, ἐὰν πονηρῷ τις παροικισθῇ γείτονι, ῥαδίως μεταβαίνῃ. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ᾽ αὐτοῦ ἐπὶ τῇ βασκανίᾳ τοῦ Ὀλύμπου αὐτὸν ἐξέβαλεν.

Ὁ λόγος δηλοῖ, ὅτι οὐδὲν οὕτως ἐστὶν ἐνάρετον, ὃ μὴ πάντως περί τι ψόγον ἐπιδέχεται.

CI. *Κολοιὸς καὶ Ὄρνεις.* (N. 191. Fl. 78. Tyrwh. p. 25. Cor. p. 116. et 367.)

Ζεὺς βουλόμενος βασιλέα ὀρνέοις καταστῆσαι προθεσμίαν αὐτοῖς ἔταξεν, ᾗ παραγενήσονται. Κολοιὸς δὲ συνειδὼς ἑαυτῷ δυσμορφίαν, περιϊὼν τὰ ἀποπίπτοντα τῶν ὀρνέων πτίλα ἀνελάμβανε καὶ ἑαυτῷ περιετίθει. Ὡς δὲ ἐνέστη ἡ ἡμέρα, ποικίλος γενόμενος ἧκε πρὸς τὸν Δία· μέλλοντος δὲ αὐτοῦ διὰ τὴν εὐπρέπειαν βασιλέα αὐτὸν

χειροτονεῖν, τὰ ὄρνεα ἀγανακτήσαντα περιέστη, καὶ ἕκαστον τὸ ἴδιον πτερὸν ἀφείλατο. Οὕτως τε συνέβη αὐτὸν ἀπογυμνωθέντα πάλιν κολοιὸν γενέσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ χρεωφειλέται, μέχρι μὲν τὰ ἀλλότρια ἔχουσι χρήματα, δοκοῦσί τινες εἶναι, ἐπειδὰν δὲ ἀποδῶσιν, ὁποῖοι ἐξ ἀρχῆς ἦσαν, εὑρίσκονται.

CII. Ἑρμῆς καὶ Γῆ. (N. 185.)

Ζεὺς πλάσας ἄνδρα καὶ γυναῖκα ἐκέλευσεν Ἑρμῆ ἀγαγεῖν αὐτοὺς ἐπὶ τὴν γῆν, καὶ δεῖξαι ὅθεν ὀρύξαντες σπήλαιον ποιήσουσι. Τοῦ δὲ τὸ προσταχθὲν ποιήσαντος, ἡ γῆ τὸ μὲν πρῶτον ἐκώλυεν, ὁ δὲ Ἑρμῆς ἠνάγκαζε λέγων, τὸν Δία προστεταχέναι· Ἀλλ᾽ ὀρυσσέτωσαν, ἔφη, ὅσην βούλονται· στένοντες γὰρ αὐτὴν καὶ κλαίοντες ἀποδώσουσιν.

Πρὸς τοὺς ῥᾳδίως δανειζομένους καὶ μετὰ λύπης ἀποδιδόντας ὁ λόγος εὔκαιρος.

CIII. Ζεὺς καὶ Ἀπόλλων. (N. 190. Fl. 551.)

Ζεὺς καὶ Ἀπόλλων περὶ τοξικῆς ἤριζον· τοῦ δὲ Ἀπόλλωνος ἐκτείναντος τὸ τόξον καὶ τὸ βέλος ἀφέντος, Ζεὺς τοσοῦτον διέβη, ὅσον Ἀπόλλων ἐτόξευσεν.

Οὕτως οἱ τοῖσι κρείττοσιν ἀνθαμιλλώμενοι γέλωτος ἄξιοί εἰσιν.

CIV. Ἵππος, Βοῦς, Κύων καὶ Ἄνθρωπος. (N. 197.)

Ζεὺς ἄνθρωπον ποιήσας ὀλιγοχρόνιον αὐτὸν ἐποίησεν· ὁ δὲ τῇ ἑαυτοῦ συνέσει χρώμενος, ὅτε ἐνίστατο ὁ χειμὼν, οἶκον ἑαυτῷ κατεσκεύαζε, καὶ ἐνταῦθα διέτριβε. Καὶ δή ποτε σφοδροῦ κρύους γενομένου, καὶ τοῦ Διὸς ὕοντος, ἵππος ἀντέχειν μὴ δυνάμενος ἧκε δρομαῖος πρὸς τὸν ἄνθρωπον, καὶ τούτου ἐδεήθη, ὅπως σκέπῃ αὐτόν. Ὁ δ' οὐκ ἄλλως ἔφη τοῦτο ποιήσειν, εἰ μὴ τῶν οἰκείων ἐτῶν μέρος αὐτῷ δῷ. Τοῦ δὲ ἀσμένως παραχωρήσαντος, παρεγένετο μετ' οὐ πολὺ καὶ βοῦς, οὐδ' αὐτὸς δυνάμενος ὑπομένειν τὸν χειμῶνα. Ὁμοίως δὲ τοῦ ἀνθρώπου μὴ πρότερον ὑποδέξεσθαι φάσκοντος, ἐὰν μὴ τῶν ἰδίων ἐτῶν ἀριθμόν τινα παράσχῃ, καὶ αὐτὸς μέρος δοὺς ὑπεδέχθη. Τὸ δὲ τελευταῖον κύων ψύχει διαφθειρόμενος ἧκε, καὶ τοῦ ἰδίου χρόνου μέρος ἀπονείμας σκέπης ἔτυχε. Οὕτω τε συνέβη τοὺς ἀνθρώπους, ὅταν μὲν ἐν τῷ τοῦ Διὸς χρόνῳ γένωνται, ἀκεραίους τε καὶ ἀγαθοὺς εἶναι· ὅταν δὲ εἰς τὰ τοῦ ἵππου ἔτη γένωνται, ἀλαζόνας τε καὶ ὑψαύχενας εἶναι· ἀφικνουμένους δὲ εἰς τὰ τοῦ βοὸς ἔτη ἀρχικοὺς ὑπάρχειν· τοὺς δὲ τὸν τοῦ κυνὸς χρόνον ἀνύοντας ὀργίλους καὶ ὑλακτικοὺς γίνεσθαι.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς πρεσβύτην θυμώδη καὶ δύστροπον.

CV. *Ζεὺς καὶ Χελώνη.* (N. 105. Fl. 79.)

Ζεὺς συγκαλεσάμενος τὰ ζῶα πάντα εἱστία· μόνης δὲ χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν τῇ ὑστεραίᾳ ἐπυνθάνετο αὐτῆς, Διὰ τί μόνη ἐπὶ τὸ δεῖπνον οὐκ ἦλθες; Τῆς δὲ εἰπούσης, Φίλος οἶκος ἄριστος οἶκος, ἀγανακτήσας κατ' αὐτῆς παρεσκεύασεν αὐτὴν τὸν οἶκον αὐτὸν βαστάζουσαν περιφέρειν.

Οὕτω πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται λιτῶς οἰκεῖν ἢ παρ' ἄλλοις πολυτελῶς διαιτᾶσθαι.

CVI. *Ζεὺς καὶ Ἀλώπηξ.* (N. 189.)

Ζεὺς ἀγασάμενος ἀλώπεκος τὸ συνετὸν τῶν φρενῶν καὶ τὸ ποικίλον, τὸ βασίλειον αὐτῇ τῶν ἀλόγων ζώων ἐνεχείρισε. Βουλόμενος δὲ γνῶναι, εἰ τὴν τύχην μεταλλάξασα μετεβάλλετο καὶ τὴν ἕξιν, φερομένης ἐν φορείῳ, κάνθαρον παρὰ τὴν ὄψιν ἀφῆκεν· ἡ δὲ ἀντισχεῖν μὴ δυναμένη, ἐπειδὴ περιΐπτατο, τοῦ φορείου ἀναπηδήσασα ἀκόσμως συλλαβεῖν αὐτὸν ἐπειρᾶτο. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῆς πάλιν αὐτὴν εἰς τὴν ἀρχαίαν ὄψιν ἀποκατέστησεν.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φαῦλοι τῶν ἀνθρώπων, κἂν τὰ προσχήματα λαμπρότερα ἀναλάβωσι, τὴν γοῦν φύσιν οὐ μετατίθενται.

CVII. *Ζεὺς καὶ Ἄνθρωποι.*

Ζεὺς πλάσας ἀνθρώπους ἐκέλευσεν Ἑρμῇ νοῦν

αὐτοῖς ἐγχέαι· κἀκεῖνος μέτρον ἴσον ποιήσας ἑκάστῳ ἐνέχεε. Συνέβη οὖν τοὺς μὲν μικροφυεῖς πληρωθέντας τοῦ μέτρου φρονίμους γενέσθαι, τοὺς δὲ μακροὺς, ἅτε μὴ ἐφικομένου τοῦ ποτοῦ μηδὲ εἰς πᾶν τὸ σῶμα, [ἀλλὰ] μέχρι γονάτων, ἀφρονεστέρους γενέσθαι.

Πρὸς ἄνδρα εὐμεγέθη τῷ σώματι, κατὰ ψυχὴν δὲ ἀλόγιστον ὁ λόγος εὔκαιρος.

CVIII. Ζεὺς καὶ Αἰδώς. (N. 104.)

Ζεὺς πλάσας ἀνθρώπους τὰς μὲν ἄλλας διανοίας εὐθὺς αὐτοῖς ἐνέθηκε, μόνης δὲ αἰσχύνης ἐπελάθετο. Διόπερ ἀμηχανῶν πόθεν ἂν αὐτὴν εἰσαγάγῃ, ἐκέλευσεν αὐτὴν διὰ τοῦ ἀρχοῦ εἰσελθεῖν. Ἡ δὲ τὸ μὲν πρῶτον ἀντέλεγε καὶ ἀνηξιοπάθει, ἐπεὶ δὲ σφόδρα αὐτῇ ἐνέκειτο, ἔφη, Ἀλλ᾽ ἔγωγε ἐπὶ ταύταις ὁμολογίαις εἴσειμι, ὡς ἂν Ἔρως μοι ἐπεισέλθῃ, εὐθέως ἐξελεύσομαι. Ἀπὸ τούτου συνέβη πάντας τοὺς πόρνους ἀναισχύντους εἶναι.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα πόρνον.

CIX. Ἥρως. (Fl. 80.)

Ἥρωα τις ἐπὶ τῆς οἰκίας ἔχων τούτῳ πολυτελῶς ἔθυεν· ἀεὶ δ᾽ αὐτοῦ ἐξαναλισκομένου καὶ πολλὰ εἰς θυσίας δαπανῶντος ὁ ἥρως ἐπιστὰς αὐτῷ νύκτωρ ἔφη, Ἀλλ᾽ ὦ οὗτος, πέπαυσο [τὴν θυσίαν]

διατρίβων τὴν οὐσίαν· ἐὰν γὰρ πάντα ἀναλώσῃς καὶ πένης γένῃ, ἐμὲ αἰτιάσῃ.

Οὕτως πολλοὶ διὰ τὴν ἑαυτῶν ἀβουλίαν δυστυχοῦντες τὴν αἰτίαν ἐπὶ τοὺς θεοὺς ἀναφέρουσιν.

CX. *Ἡρακλῆς καὶ Πλοῦτος.* (N. 194.)

Ἡρακλῆς ὁ θεωθεὶς καὶ παρὰ Διῒ ἑστιώμενος ἕνα ἕκαστον τῶν θεῶν μετὰ πολλῆς φιλοφροσύνης ἠσπάζετο, καὶ δὴ τελευταίου εἰσιόντος τοῦ Πλούτου κατὰ τοῦ ἐδάφους κύψας ἀπεστρέψατο αὐτόν. Ὁ δὲ Ζεὺς θαυμάσας τὸ γεγονὸς, ἐπυνθάνετο αὐτοῦ τὴν αἰτίαν, δι' ἣν πάντας ἀσμένως προσαγορεύσας μόνον τὸν Πλοῦτον ὑποβλέπεται. Ὁ δὲ εἶπεν, Ἀλλ' ἔγωγε διὰ τοῦτο αὐτὸν ὑποβλέπομαι, ὅτι παρ' ὃν καιρὸν ἐν ἀνθρώποις ἤμην, ἑώρων αὐτὸν ὡς ἐπὶ τὸ πλεῖστον τοῖς πονηροῖς συνόντα.

Ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρὸς πλουσίου μὲν τὴν τύχην, πονηροῦ δὲ τὸν τρόπον.

CXI. *Μύρμηξ καὶ Κάνθαρος.* (N. 248. Fl. 84.)

Θέρους ὥρᾳ μύρμηξ περιπατῶν κατὰ τὴν ἄρουραν σίτους καὶ κριθὰς συνέλεγεν, ἀποθησαυριζόμενος ἑαυτῷ τροφὴν εἰς τὸν χειμῶνα. Κάνθαρος δὲ τοῦτον θεασάμενος ἐθαύμασεν ὡς ἐπιπονώτατον, εἴγε παρ' αὐτὸν τὸν καιρὸν μοχθεῖ, παρ' ὃν τὰ ἄλλα ζῶα πόνων ἀφειμένα ῥαστώνην ἄγει. Ὁ δὲ τότε μὲν ἡσύχαζεν, ὕστερον δὲ, ὅτε χειμὼν ἐνέστη, τῆς

κόπρου ὑπὸ τοῦ ὄμβρου κλυσθείσης, ὁ κάνθαρος ἧκε πρὸς αὐτὸν λιμώττων, καὶ τροφῶν μεταλαβεῖν δεόμενος. Ὁ δὲ ἔφη πρὸς αὐτὸν, Ὦ κάνθαρε, ἀλλ' εἰ τότε ἐπόνεις, ὅτε ἐμόχθουν καί με ὠνείδιζες, οὐκ ἂν νῦν τροφῆς ἐπεδέου.

Οὕτως οἱ περὶ τὰς εὐθηνίας τοῦ μέλλοντος μὴ προνοούμενοι παρὰ τὰς τῶν καιρῶν μεταβολὰς τὰ μέγιστα δυστυχοῦσι.

CXII. *Θύννος καὶ Δελφίν.* (N. 30. Fl. 85.)

Θύννος διωκόμενος ὑπὸ δελφῖνος καὶ πολλῷ ῥοίζῳ φερόμενος ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἔλαθεν ὑπὸ τῆς σφοδρᾶς ὁρμῆς ἐκκρουσθεὶς εἴς τινα ἠόνα· ὑπὸ τῆς αὐτῆς δὲ φορᾶς ἐλαυνόμενος καὶ ὁ δελφὶν αὐτῷ συνεξώσθη. Καὶ ὁ θύννος, ὡς ἐθεάσατο ἐπιστραφεὶς αὐτὸν λειποψυχοῦντα, ἔφη, Ἀλλ' ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατος· ὁρῶ γὰρ καὶ τὸν αἴτιόν μου τοῦ θανάτου γενόμενον συναποθνήσκοντα.

Ὁ λόγος δηλοῖ, ὅτι ῥάδιον φέρουσι τὰς συμφορὰς οἱ ἄνθρωποι, ὅταν ἴδωσι καὶ τοὺς αἰτίους τούτων συναποθνήσκοντας.

CXIII. *Ἰατρὸς καὶ Νοσῶν.* (N. 31. Cor. 31.)

Ἰατρὸς ἐκκομιζομένου τινὸς τῶν οἰκείων ἔλεγε πρὸς τοὺς συμπροπέμποντας, ὡς οὗτος ὁ ἄνθρωπος, εἰ οἴνου ἀπείχετο καὶ κλυστῆρσιν ἐχρήσατο,

οὐκ ἂν ἀπέθανε. Τούτῳ δέ τις ὑποτυχὼν ἔφη, Ὦ οὗτος, ἀλλ' οὔ σε ἔδει ταῦτα λέγειν, ὅτε οὐδὲν ὄφελός ἐστι, τότε δὲ παραινεῖν, ὅτε κεχρῆσθαι ἠδύνατο.

Ὁ λόγος δηλοῖ, ὅτι χρὴ τοῖς φίλοις παρὰ τὰς χρείας τὰς βοηθείας παρέχεσθαι, ἀλλὰ μὴ μετὰ τὴν τῶν πραγμάτων ἀπόγνωσιν κατειρωνεύεσθαι.

CXIV. Ἰξευτὴς καὶ Ἀσπίς. (N. 32.)

Ἰξευτὴς ἀναλαβὼν ἰξὸν καὶ τοὺς καλάμους ἐξῆλθεν ἐπ' ἄγραν· θεασάμενος δὲ κίχλαν ἐπί τινος ὑψηλοῦ δένδρου καθημένην, ταύτην συλλαβεῖν ἠβουλήθη. Καὶ δὴ ἀνάψας εἰς μῆκος τοὺς καλάμους, ἀτενὲς ἔβλεπεν, ὅλος ὢν πρὸς τῷ ἀέρι τὸν νοῦν. Τοῦτον δὲ τὸν τρόπον ἄνω νεύων ἔλαθεν ἀσπίδα πρὸ τῶν ἑαυτοῦ ποδῶν κοιμωμένην πατήσας, ἥτις ἐπιστραφεῖσα ἔπληξεν αὐτόν· ὁ δὲ λειποψυχῶν ἔφη πρὸς ἑαυτὸν, Ἄθλιος ἔγωγε, ὃς ἕτερον θηρεῦσαι βουλόμενος, ἔλαθον αὐτὸς ἀγρευθεὶς εἰς θάνατον.

Οὕτως οἱ τοῖς πέλας ἐπιβουλὰς ῥάπτοντες φθάνουσιν αὐτοὶ συμφοραῖς περιπίπτοντες.

CXV. Καρκῖνος καὶ Ἀλώπηξ. (N. 95.)

Καρκῖνος ἀναβὰς ἀπὸ τῆς θαλάσσης ἐπί τινος αἰγιαλοῦ ἐκάθητο· ἀλώπηξ δὲ λιμώττουσα ὡς ἐθεάσατο αὐτὸν ἀποροῦσα τροφῆς, προσδραμοῦσα ἀνέλαβεν αὐτόν. Ὁ δὲ μέλλων καταβιβρώσκεσθαι ἔφη, Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι θαλάττιος ὢν χερσαῖος ἠβουλήθην γενέσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλιπόντες ἐπιτηδεύματα, καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦσι.

CXVI. *Κάμηλος καὶ Ζεύς.* (N. 200. Fl. 153. Synt. p. 49. Cor. 197.)

Κάμηλος θεασαμένη ταῦρον ἐπὶ τοῖς κέρασιν ἀγαλλόμενον, φθονήσασα αὐτῷ ἠβουλήθη καὶ αὐτὴ τῶν ἴσων ἐφικέσθαι· διὸ καὶ παραγενομένη πρὸς τὸν Δία τούτου ἐδέετο, ὅπως αὐτῇ κέρατα προσνείμῃ· καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῆς, εἴγε μὴ ἀρκοῖτο τῷ μεγέθει τοῦ σώματος καὶ τῇ ἰσχύϊ, ἀλλὰ καὶ περισσοτέρων ἐπιθυμεῖ, οὐ μόνον αὐτῇ κέρατα οὐ προσέθηκεν, ἀλλὰ καὶ μέρος τι τῶν ὠτίων ἀφείλετο.

Οὕτω πολλοὶ διὰ πλεονεξίαν τοῖς ἄλλοις ἐποφθαλμίζοντες λανθάνουσι καὶ τῶν ἰδίων στερούμενοι.

CXVII. *Κάστωρ.* (N. 53.)

Κάστωρ ἐστὶ ζῶον τετράπουν ἐν λίμναις γινόμενον· τούτου λέγεται τὰ αἰδοῖα εἴς τινας θεραπείας χρήσιμα εἶναι. Καὶ δὴ εἴ ποτέ τις αὐτὸν θεασάμενος διώκει ἐκτέμνειν βουλόμενος, εἰδὼς οὗ χάριν διώκεται, μέχρι μέν τινος φεύγει, τῇ τῶν ποδῶν ταχύτητι χρώμενος, πρὸς τὸ ὁλόκληρον αὐτὸν φυλάξαι· ἐπειδὰν δέ που κατάληπτος γένη-

ται, ἀποκόπτων τὰ ἑαυτοῦ αἰδοῖα ῥίπτει, καὶ οὕτως τῆς σωτηρίας τυγχάνει.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅσοι διὰ χρήματα ἐπιβουλευόμενοι, ἐκεῖνα παρορῶσιν, ὑπὲρ τοῦ ἕνεκεν τῆς σωτηρίας μὴ κινδυνεύειν.

CXVIII. Κηπωρός. (Vita Aesopi p. 27.)

Κηπωρῷ τις ἐπιστὰς ἀρδεύοντι λάχανα ἐπυνθάνετο αὐτοῦ, δι' ἣν αἰτίαν τὰ μὲν ἄγρια τῶν λαχάνων εὐθαλῆ τέ ἐστι καὶ στερεὰ, τὰ δὲ ἥμερα λεπτὰ καὶ μεμαρασμένα· κἀκεῖνος ἔφη, Ἡ γῆ τῶν μὲν μήτηρ, τῶν δὲ μητρυιά ἐστι.

Οὕτω καὶ τῶν παιδῶν οὐχ ὁμοίως τρέφονται οἱ ὑπὸ μητρυιᾶς τρεφόμενοι τοῖς μητέρας ἔχουσι.

CXIX. Κηπωρὸς καὶ Κύων. (N. 67. Synt. 34.)

Κηπωροῦ κύων εἰς φρέαρ ἔπεσεν· ὁ δὲ ἀνιμήσασθαι αὐτὸν βουλόμενος ἐκεῖ κατέβη· ὁ δὲ κύων ἀπορησάμενος, ὡς προσῆλθεν αὐτῷ, οἰόμενος ὑπ' αὐτοῦ βαπτίζεσθαι, ἔδακεν αὐτόν. Καὶ ὃς κακῶς διατεθεὶς ἔφη, Ἀλλ' ἔγωγε ἄξια; τί γάρ σου ἑαυτὸν κατακρημνίσαντος τοῦ κινδύνου σε ἀπαλλάττειν ἐβουλόμην;

Πρὸς ἄνδρα ἀχάριστον εἰς τοὺς εὐεργέτας καὶ πρὸς ἀδικοῦντα ὁ μῦθος ἁρμόζει.

CXX. *Κιθαρῳδός.* (N. 96.)

Κιθαρῳδὸς ἄμουσος ἐν κεκονιαμένῳ οἴκῳ συνεχῶς ᾄδων, ἀντηχούσης δὲ αὐτῷ τῆς φωνῆς, ὥστε αὐτὸν νομίσαι εὔφωνον εἶναι σφόδρα, καὶ δὴ ἐπαρθεὶς ἐπὶ τούτῳ ἔγνω δεῖν καὶ εἰς θέατρον εἰςελθεῖν· ἀφικόμενος δὲ ἐπὶ σκηνὴν, καὶ πάνυ κακῶς ᾄδων λίθοις βαλλόμενος ἐξηλάθη.

Οὕτω καὶ τῶν ῥητόρων ἔνιοι ἐν σχολαῖς εἶναί τινες δοκοῦντες ὅταν ἐπὶ τοὺς πολίτας ἀφίκωνται, οὐδενὸς ἄξιοι εὑρίσκονται.

CXXI. *Κλέπται καὶ Ἀλεκτρυών.* (N. 97.)

Κλέπται εἴς τινα οἰκίαν ἐλθόντες εὗρον οὐδὲν, μόνον δὲ ἀλεκτρυόνα· καὶ τοῦτον λαβόντες ἀπηλλάγησαν. Ὁ δὲ μέλλων θύεσθαι ὑπ᾽ αὐτῶν ἐδέετο, ὅπως ἂν αὐτὸν ἀπολύσωσι, λέγων, χρήσιμον ἑαυτὸν τοῖς ἀνθρώποις εἶναι, νύκτωρ αὐτοὺς ἐγείροντα πρὸς τὰ ἔργα. Οἱ δὲ ὑποτυχόντες ἔφασαν, Ἀλλὰ καὶ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων ἡμᾶς οὐκ ἐᾷς κλέπτειν ἐξ ἑτέρων.

Ὁ λόγος δηλοῖ, ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἠναντίωνται, ἅτινα τῶν χρηστῶν ἐστιν εὐεργετήματα.

CXXII. *Κολοιὸς καὶ Κόρακες.* (N. 205.)

Κολοιὸς ποσῷ μεγέθει τῶν ἄλλων κολοιῶν διαφέρων ὑπερφρονήσας τοὺς ὁμοφύλους παρεγένετο πρὸς τοὺς κόρακας, καὶ τούτοις ἠξίου συνδιαιτᾶ-

σθαι. Οἱ δὲ ἀμφιγνόντες αὐτοῦ τό τε εἶδος καὶ τὴν φωνὴν παίοντες αὐτὸν ἐξέβαλον· καὶ ὃς ἀπελαθεὶς ὑπ' αὐτῶν ἧκε πάλιν εἰς τοὺς κολοιούς· οἱ δὲ ἀγανακτοῦντες ἐπὶ τῇ ὕβρει οὐ προσεδέξαντο αὐτὸν, οὕτω τε συνέβη αὐτῷ τῆς ἐξ ἀμφοτέρων διαίτης στερηθῆναι.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τὰς πατρίδας ἀπολιμπάνοντες καὶ τὴν ἀλλοδαπὴν προκρίνοντες οὔτε ἐν ἐκείνοις εὐδοκιμοῦσι, καὶ ὑπὸ τῶν ἰδίων πολιτῶν ἀποστρέφονται.

CXXIII. *Κόραξ καὶ Ἀλώπηξ.* (N. 208. Cor. 204.)

Κόραξ κρέας ἁρπάσας ἐπί τινος δένδρου ἐκάθισεν· ἀλώπηξ δὲ θεασαμένη αὐτὸν καὶ βουλομένη τοῦ κρέως περιγενέσθαι, στᾶσα ἐπῄνει αὐτὸν ὡς εὐμεγέθη τε καὶ καλὸν, λέγουσα, ὡς πρέπει αὐτῷ μάλιστα τῶν ὀρνέων βασιλεύειν, καὶ τοῦτο πάντως ἂν γένοιτο, εἰ φωνὴν εἶχεν. Ὁ δὲ παραστῆσαι αὐτῇ βουλόμενος, ὅτι καὶ φωνὴν ἔχει, βαλὼν τὸ κρέας μεγάλως ἐκεκράγει, ἐκείνη δὲ προσδραμοῦσα καὶ τὸ κρέας ἁρπάσασα ἔφη, Ὦ κόραξ, ἔχεις τὰ πάντα· νοῦν μόνον κτῆσαι.

Πρὸς ἄνδρα ἀνόητον ὁ λόγος εὔκαιρος.

CXXIV. *Κορώνη καὶ Κόραξ.* (N. 98.)

Κορώνη φθονήσασα κόρακι ἐπὶ τῷ διὰ οἰωνῶν μαντεύεσθαι ἀνθρώποις καὶ τὸ μέλλον προφαί-

νειν, καὶ διὰ τοῦτο ὑπ' αὐτῶν μαρτυρεῖσθαι, ἠβουλήθη τῶν αὐτῶν ἐφικέσθαι· καὶ δὴ θεασαμένη τινὰς ὁδοιπόρους παριόντας, ἧκεν ἐπί τι δένδρον καὶ στᾶσα μεγάλως ἐκεκράγει· τῶν δὲ πρὸς τὴν φωνὴν ἐπιστραφέντων καὶ καταπλαγέντων, εἷς τις ὑποτυχὼν ἔφη, Ἀλλ' ἀπίωμεν, ὦ φίλοι· κορώνη γάρ ἐστιν, ἥτις κεκραγυῖα οἰωνὸν οὐκ ἔχει.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς κρείττοσιν ἀνθαμιλλώμενοι πρὸς τῷ τῶν ἴσων μὴ ἐφικέσθαι καὶ γέλωτα ὀφλισκάνουσι.

CXXV. *Κολοιὸς καὶ Ἀλώπηξ.* (N. 204.)

Κολοιὸς λιμώττων ἐπί τινος συκῆς ἐκάθισεν· εὑρὼν δὲ τοὺς ὀλύνθους μηδέπω πεπείρους, προσέμενεν ἕως σῦκα γένωνται. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν ἐγχρονίζοντα καὶ τὴν αἰτίαν παρ' αὐτοῦ μαθοῦσα, ἔφη, Ἀλλὰ πεπλάνησαι, ὦ οὗτος, ἐλπίδι προσέχων, ἥτις βουκολεῖν μὲν οἶδε, τρέφειν δὲ οὐδαμῶς.

Πρὸς ἄνδρα φιλόνεικον ὁ λόγος εὔκαιρος.

CXXVI. *Κορώνη καὶ Κύων.* (N. 99.)

Κορώνη τινὰ κύνα ἐφ' ἑστίασιν ἐκάλεσεν· ὁ δὲ ἔφη πρὸς αὐτὴν, Τί μάτην τὰς θυσίας ἀναλίσκεις; ὁ γὰρ δαίμων οὕτω σε μισεῖ, ὡς καὶ τῶν σῶν οἰωνῶν τὴν πίστιν περιελέσθαι. Καὶ ἡ κορώνη ἀπεκρίνατο, Ἀλλὰ καὶ διὰ τοῦτο αὐτῷ θύω, διότι οἶδα αὐτὸν ἀπεχθῶς διακείμενον, ἵνα διαλλαγῇ μοι.

Οὕτω πολλοὶ διὰ φόβον τοὺς πολλοὺς εὐεργετεῖν οὐκ ὀκνοῦσι.

CXXVII. *Κόραξ καὶ Ὄφις.* (N. 100.)

Κόραξ τροφῆς ἀπορῶν ὡς ἐθεάσατο ὄφιν ἐπί τινι εὐηλίῳ τόπῳ κοιμώμενον, τοῦτον καταπτὰς ἥρπασε. Τοῦ δὲ ἐπιστραφέντος καὶ δακόντος αὐτὸν, ἀποθνήσκειν μέλλων ἔφη, Ἀλλ' ἔγωγε δείλαιος, ὅτι τοιοῦτον ἕρμαιον εὗρον, ἐξ οὗ καὶ ἀπόλλυμαι.

Οὗτος ὁ λόγος λεχθείη ἂν πρὸς ἄνδρα, ὃς διὰ θησαυροῦ εὕρεσιν καὶ περὶ σωτηρίας ἐκινδύνευσε.

CXXVIII. *Κολοιὸς καὶ Περιστεραί.* (N. 101.)

Κολοιὸς ἰδὼν περιστερὰς ἔν τινι τροφείῳ καλῶς τρεφομένας, λευκάνας ἑαυτὸν ἧκεν ὡς τῆς αὐτῆς διαίτης μεταληψόμενος. Αἱ δὲ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν εἶναι αὐτὸν, προσίεντο· ἐπειδὴ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα αὗται γνωρίσασαι αὐτοῦ τὴν φωνὴν ἐξήλασαν αὐτόν. Καὶ ὃς, ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς, ἀπῆλθε πάλιν εἰς τοὺς κολοιούς· κἀκεῖνοι οὐ γνωρίζοντες αὐτὸν διὰ τὸ χρῶμα τῆς μετ' αὐτῶν διαίτης ἀπεῖρξαν αὐτόν. Οὕτω δὲ τοῖν δυοῖν ἐπιτυχεῖν ζητῶν οὐδεμίας ἔτυχεν.

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τοῖς ἑαυτῶν ἀρκεῖσθαι, λογιζομένους, ὅτι ἡ πλεονεξία πρὸς τῷ μηδὲν ὠφελεῖν πολλάκις καὶ τὰ προσόντα ἀφαιρεῖται.

CXXIX. *Κοιλία καὶ Πόδες.* (N. 206. Synt. 35. Cor. 202.)

Κοιλία καὶ πόδες περὶ δυνάμεως ἤριζον· παρ' ἕκαστα δὲ τῶν ποδῶν λεγόντων, ὅτι προέχουσι τῇ ἰσχύϊ τοσοῦτον, ὥστε καὶ αὐτὴν τὴν γαστέρα βαστάζειν· ἐκείνη ἀπεκρίνατο, Ὦ οὗτοι, ἐὰν μὴ ἐγὼ τροφὴν προσλάβωμαι, οὐδ' ὑμεῖς βαστάζειν δυνήσεσθε.

Οὕτω καὶ ἐπὶ τῶν στρατευμάτων ἀδύνατοί εἰσιν οἱ στρατιῶται, ἂν μὴ οἱ στρατηγοὶ ἄριστα φρονῶσι.

CXXX. *Κολοιὸς φυγάς.* (N. 102.)

Κολοιόν τις συλλαβὼν καὶ δήσας τὸν αὐτοῦ πόδα λίνῳ, τοῖς αὐτοῦ παισὶν ἔδωκεν· ὁ δὲ οὐχ ὑπομείνας τὴν μετὰ ἀνθρώπων δίαιταν, ὡς πρὸς ὀλίγον ἀδείας ἔτυχε, φυγὼν ἧκεν εἰς τὴν ἑαυτοῦ καλιάν· περιειληθέντος δὲ τοῦ δεσμοῦ τοῖς κλάδοις, ἀναπτῆναι μὴ δυνάμενος, ἐπειδὴ ἀποθνήσκειν ἔμελλεν, ἔφη πρὸς ἑαυτὸν, Ἀλλ' ἔγωγε δείλαιος, ὅστις τὴν μετὰ τῶν ἀνθρώπων δουλείαν μὴ ὑπομείνας ἔλαθον ἐμαυτὸν καὶ τῆς σωτηρίας στερίσας.

Οὗτος ὁ λόγος ἁρμόσειεν ἐπ' ἐκείνους τῶν ἀνθρώπων, οἵτινες μετρίων ἑαυτοὺς κινδύνων ῥύσασθαι βουλόμενοι ἔλαθον εἰς μείζονα δεινὰ πεσόντες.

CXXXI. *Κύων καὶ Ἀλώπηξ.* (N. 215.)

Κύων θηρευτικὸς λέοντα ἰδὼν τοῦτον ἐδίωκεν· ὡς δὲ ἐπιστραφεὶς ἐκεῖνος ἐβρυχήσατο, φοβηθεὶς εἰς

τοὐπίσω ἔφυγεν. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν ἔφη, Ὦ κακὴ κεφαλὴ, σὺ λέοντα ἐδίωκες, οὗ οὐδὲ τὸν βρυχηθμὸν ὑπέμεινας.

Ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρῶν αὐθαδείᾳ συνόντων, οἳ κατὰ πολὺ δυνατωτέρων συκοφαντεῖν ἐπιχειροῦντες, ὅταν ἐκεῖνοι ἀντιστῶσιν, εὐθέως ἀναχαιτίζονται.

CXXXII. *Κύων κρέας φέρουσα.* (N. 215. Synt. 28. Cor. 209.)

Κύων κρέας ἔχουσα ποταμὸν διέβαινε· θεασαμένη δὲ τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ὑπέλαβεν ἑτέραν κύνα εἶναι, μεῖζον κρέας ἔχουσαν· διόπερ ἀφεῖσα τὸ ἴδιον ὥρμησεν ὡς τὸ ἐκείνης ἀφαιρησομένη Συνέβη δ' αὐτῇ ἀμφοτέρων στερηθῆναι, τοῦ μὲν μὴ ἐφικομένῃ, διότι μηδὲ ἦν, τοῦ δ', ὅτι ὑπὸ τοῦ ποταμοῦ παρεσύρη.

Πρὸς ἄνδρα πλεονέκτην ὁ λόγος εὔκαιρος.

CXXXIII. *Κύων καὶ Λύκος.* (N. 35. Fl. 86.)

Κύων πρὸ ἐπαύλεώς τινος ἐκοιμᾶτο· λύκος δὲ τοῦτον θεασάμενος καὶ συλλαβὼν ᾤετο καταφαγεῖν. Ὁ δὲ αὐτοῦ ἐδεήθη πρὸς τὸ παρὸν μεθεῖναι αὐτὸν λέγων, Νῦν μὲν λεπτός εἰμι καὶ ἰσχνὸς, μέλλουσι δέ μου οἱ δεσπόται γάμους ἔχειν· ἐὰν οὖν ἀφῇς με νῦν, ὕστερον λιπαρώτερον καταθοινήσεις με. Ὁ δὲ πεισθεὶς αὐτῷ τότε μὲν ἀπέλυσε, μεθ'

ἡμέρας δὲ ὀλίγας ἐλθὼν ὡς ἐθεάσατο αὐτὸν ἐπὶ τοῦ δωματίου κοιμώμενον, ἐκάλει πρὸς αὐτὸν ἀρτίως ἐξελθεῖν, ὑπομιμνήσκων τῶν ὁμολογιῶν· ὁ δὲ ὑποτυχὼν ἔφη, Ἀλλ', ὦ λύκε, ἐὰν αὖθίς με πρὸ τῆς ἐπαύλεως κοιμώμενον ἴδῃς, μηκέτι γάμους ἀναμείνῃς.

Οὕτως οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν περί τινος κινδυνεύσαντες ἐκφύγωσι, πάντα ὕστερον φυλάττονται.

CXXXIV. *Κύνες λιμώττουσαι.* (N. 211. Syntip. 51.)

Κύνες λιμώττουσαι ὡς ἐθεάσαντο ἔν τινι ποταμῷ βύρσας βρεχομένας, μὴ δυνάμεναι αὐτῶν ἐφικέσθαι, συνέθεντο ἀλλήλαις, ὅπως τὸ ὕδωρ ἐκπίωσιν, εἶθ' οὕτως ἐπὶ τὰς βύρσας παραγίνωνται. Συνέβη δ' αὐτὰς πινούσας διαῤῥαγῆναι πρὶν ἢ τῶν βυρσῶν ἐφικέσθαι.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων δι' ἐλπίδα κέρδους ἐπισφαλεῖς μόχθους ὑφιστάμενοι φθάνουσι πρῶτον καταναλισκόμενοι ἢ ὧν βούλονται περιγενόμενοι.

CXXXV. *Κύων καὶ Λαγωός.* (Synt. 46. Tyrwh. p. 32.)

Κύων θηρευτικὸς λαβών ποτε λαγωὸν, τοῦτον πῇ μὲν ἔδακνε, πῇ δ' αὐτοῦ τὰ χείλη περιέλειχεν· ὁ δ' ἀπαυδήσας ἔφη πρὸς αὐτὸν, Ἀλλ', ὦ οὗτος, παῦ-

σαί με δάκνων ἢ καταφιλῶν, ἵνα γνῶ, πότερον ἐχθρὸς ἢ φίλος μου καθέστηκας.

Πρὸς ἄνδρα ἀμφίβολον ὁ λόγος εὔκαιρος.

CXXXVI. Κώνωψ καὶ Βοῦς. (N. 217. Synt. 47.)

Κώνωψ ἐπιστὰς κέρατι ταύρου, καὶ πολὺν χρόνον ἐπικαθίσας, ἐπειδὴ ἀπαλλάττεσθαι ἔμελλεν, ἐπυνθάνετο τοῦ ταύρου, εἰ ἤδη βούλεται αὐτὸν ἀπελθεῖν. Ὁ δὲ ὑποτυχὼν ἔφη, Ἀλλ᾽ οὔτε ὅτε ἦλθες, ἔγνων, οὔτε ἐὰν ἀπέλθῃς, γνώσομαι.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα ἀδύνατον, ὃς οὔτε παρὼν οὔτε ἀπὼν ἐπιβλαβὴς ἢ ὠφέλιμός ἐστι.

CXXXVII. Λαγωοὶ καὶ Βάτραχοι. (N. 57. Fl. 89. et 150. Cor. 57.)

Λαγωοὶ καταγνόντες τὴν ἑαυτῶν δειλίαν ἔγνωσαν δεῖν ἑαυτοὺς κατακρημνίσαι· παραγενομένων δὲ αὐτῶν ἐπί τινα κρημνὸν, ᾧ λίμνη ἐπέκειτο, ἐνταῦθα βάτραχοι ἀκούσαντες τῆς ποδοψοφίας ἑαυτοὺς εἰς τὰ βάθη τῆς λίμνης ἐδίδοσαν. Εἷς δέ τις τῶν λαγωῶν θεασάμενος αὐτοὺς ἔφη πρὸς τοὺς ἑτέρους, Ἀλλὰ μηκέτι ἑαυτοὺς κατακρημνίσωμεν· ἰδοὺ γὰρ, εὕρηνται καὶ ἡμῶν δειλότερα ζῶα.

Οὕτω καὶ τοῖς ἀνθρώποις αἱ τῶν ἄλλων δυστυχίαι τῶν ἰδίων δυστυχημάτων παραμυθίαι γίνονται.

CXXXVIII. *Λέων καὶ Γεωργός.* (N. 225. Fl. 110. Cor. 221.)

Λέων ἐρασθεὶς θυγατρός τινος γεωργοῦ ταύτην ἐμνηστεύσατο· ὁ δὲ μὴ ἐκδοῦναι θηρίῳ τὴν θυγατέρα ὑπομένων, μηδὲ ἀρνεῖσθαι διὰ τὸν φόβον δυνάμενος, τοιοῦτόν τι ἐπενόησεν. Ἐπειδὴ συνεχῶς ὁ λέων αὐτῷ ἐπέκειτο, ἔλεγεν, ὡς νυμφίον αὐτὸν τῆς θυγατρὸς δοκιμάζει, μὴ ἄλλως δὲ αὐτῷ δύνασθαι ἐκδοῦναι, ἐὰν μὴ τοὺς ὀδόντας ἐξέληται καὶ τοὺς ὄνυχας ἐκτέμῃ· τούτους γὰρ δεδοικέναι τὴν κόρην ἔφη. Τοῦ δὲ ῥαδίως διὰ τὸν ἔρωτα ἑκάτερον ὑπομείναντος, ὁ γεωργὸς καταφρονήσας αὐτοῦ, ὡς παρεγένετο πρὸς αὐτὸν, ῥοπάλοις παίων αὐτὸν ἐξήλασεν.

Οὕτως οἱ ῥαδίως τοῖς ἐχθροῖς πιστεύοντες, ὅταν τῶν ἰδίων πλεονεκτημάτων ἑαυτοὺς ἀπογυμνώσωσιν, εὐάλωτοι τούτοις γίνονται, πρότερον φοβεροὶ καθεστηκότες.

CXXXIX. *Λέων καὶ Βάτραχος.* (N. 37. Fl. 90.)

Λέων ἀκούσας βατράχου κεκραγότος, ἐπεστράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι· προσμείνας δὲ μικρὸν χρόνον, ὡς ἐθεάσατο αὐτὸν ἀπὸ τῆς λίμνης ἐξελθόντα, προσελθὼν κατεπάτησεν, εἰπὼν, Μηδένα ἀκοὴ ταραττέτω πρὸ τῆς θέας.

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα γλωσσώδη, οὐδὲν πλέον τοῦ λαλεῖν δυνάμενον.

CXL. *Λέων καὶ Ἀλώπηξ.* (N. 137. Fl. 91. Synt. 37. Cor. 137.)

Λέων γηράσας καὶ μὴ δυνάμενος δι' ἀλκῆς ἑαυτῷ τροφὴν πορίζειν, ἔγνω δεῖν δι' ἐπινοίας τοῦτο πρᾶξαι. Καὶ δὴ παραγενόμενος εἴς τι σπήλαιον, καὶ ἐνταῦθα κατακλιθεὶς προσεποιεῖτο τὸν νοσοῦντα, καὶ οὕτω τὰ παραγενόμενα πρὸς αὐτὸν εἰς ἐπίσκεψιν ζῶα συλλαμβάνων κατήσθιε. Πολλῶν δὲ θηρίων καταναλωθέντων, ἀλώπηξ τὸ τέχνασμα αὐτοῦ συνεῖσα παρεγένετο, καὶ στᾶσα ἄπωθεν τοῦ σπηλαίου ἐπυνθάνετο αὐτοῦ, πῶς ἔχοι· τοῦ δὲ εἰπόντος κακῶς, καὶ τὴν αἰτίαν ἐρομένου, δι' ἣν οὐκ εἴσεισιν, ἔφη, Ἀλλ' ἔγωγε εἰσῆλθον ἄν, εἰ μὴ ἑώρων πολλῶν εἰσιόντων ἴχνη, ἐξιόντος δὲ οὐδενός.

Οὕτως οἱ φρόνιμοι τῶν ἀνθρώπων ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους ἐκφεύγουσι.

CXLI. *Λέων καὶ Ταῦρος.* (N. 251. Fl. 92. Cor. 227.)

Λέων ταύρῳ παμμεγέθει ἐπιβουλεύων ἠβουλήθη αὐτοῦ περιγενέσθαι· διόπερ πρόβατον τεθυκέναι φήσας πρὸς ἑστίασιν αὐτὸν ἐκάλεσε, βουλόμενος κατακλιθέντα αὐτὸν καταγωνίσασθαι. Ὁ δὲ ἐλθὼν καὶ θεασάμενος λέβητας πολλοὺς καὶ ὀβε-

λίσκους μεγάλους, τὸ δὲ πρόβατον οὐδαμοῦ, μηδὲν εἰπὼν ἀπηλλάττετο. Τοῦ δὲ λέοντος αἰτιωμένου αὐτὸν καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν οὐδὲν δεινὸν παθὼν ἀλόγως ἄπεισιν, ἔφη, Ἀλλ' ἔγωγε οὐ μάτην ποιῶ· ὁρῶ γὰρ κατασκευὴν οὐχ ὡς εἰς πρόβατον, ἀλλ' ὡς εἰς ταῦρον ἡτοιμασμένην.

Ὁ λόγος δηλοῖ, ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πονηρῶν τέχναι οὐ λανθάνουσι.

CXLII. *Λέων καὶ Γεωργός.* (N. 224. Fl. 93.)

Λέων εἰς ἔπαυλιν γεωργοῦ εἰσῆλθεν· ὁ δὲ συλλαβεῖν βουλόμενος τὴν αὐλιαίαν θύραν ἔκλεισε. Καὶ ὃς ἐξελθεῖν μὴ δυνάμενος πρῶτα μὲν τὰ ποίμνια διέφθειρε, ἔπειτα καὶ ἐπὶ τοὺς βόας ἐτράπη. Καὶ ὁ γεωργὸς φοβηθεὶς περὶ αὐτοῦ τὴν θύραν ἤνοιξεν. Ἀπαλλαγέντος δὲ [αὐτοῦ] τοῦ λέοντος, ἡ γυνὴ θεασαμένη αὐτὸν στένοντα εἶπεν, Ἀλλά γε σὺ δίκαια πέπονθας· τί γὰρ τοσοῦτον συγκλεῖσαι ἠβούλου, ὃν καὶ ἀπὸ μακρόθέν σε ἔδει τρέμειν;

Οὕτως οἱ πονηροὶ τοὺς ἰσχυροτέρους διερεθίζοντες εἰκότως τὰς ἑαυτῶν πλημμελείας ὑπομένουσι.

CXLIII. *Λέων καὶ Δελφίς.* (N. 226.)

Λέων ἔν τινι αἰγιαλῷ πλαζόμενος ὡς ἐθεάσατο δελφῖνα παρακύψαντα ἐπὶ συμμαχίαν παρεκά-

λεσε, λέγων, ὅτι ἁρμόζει μάλιστα φίλους ἑαυτοὺς καὶ βοηθοὺς γενέσθαι· σὺ μὲν γὰρ τῶν θαλαττίων ζώων, αὐτὸς δὲ τῶν χερσαίων ζώων εἰμὶ βασιλεύς. Τοῦ δὲ ἀσμένως ἐπινεύσαντος, ὁ λέων μετ' οὐ πολὺν χρόνον τινὰ μάχην ἔχων πρὸς ταῦρον ἄγριον προσεκάλει τὸν δελφῖνα εἰς βοήθειαν· ὡς δὲ ἐκεῖνος βουλόμενος ἐκβῆναι τῆς θαλάσσης οὐκ ἠδύνατο, ᾐτιᾶτο αὐτὸν ὁ λέων ὡς προδότην. Ὁ δὲ ὑποτυχὼν εἶπεν, Ἀλλὰ μὴ ἐμὲ μέμφου, τὴν φύσιν δὲ, ἥτις με θαλάσσιον ποιήσασα γῆς οὐκ ἐᾷ ἐπιβῆναι.

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ φιλίαν σπενδομένους τοιούτους ἐπιλέγεσθαι συμμάχους, οἳ ἐν τοῖς κινδύνοις πανταχοῦ παρεῖναι δεδύνηνται.

CXLIV. *Λέων φοβηθεὶς Μῦν.* (N. 222. Fl. 95.)

Λέοντος κοιμωμένου μῦς τῷ σώματι περιέδραμε· ὁ δὲ ἐξαναστὰς πανταχοῦ περιειλεῖτο, ζητῶν τὸν προσεληλυθότα. Ἀλώπηξ δὲ αὐτὸν θεασαμένη ὠνείδιζεν, εἰ λέων μῦν ἐφοβήθη· Ἀλλὰ κατὰ τῆς γνώμης αὐτοῦ τὴν ὀργὴν ἔχω, φησί.

Ὁ λόγος διδάσκει τοὺς φρονίμους ἀνθρώπους μηδὲ τῶν μετρίων πραγμάτων καταφρονεῖν.

CXLV. *Λέων καὶ Ἄρκτος.* (N. 39. Fl. 96. Cor. 39.)

Λέων καὶ ἄρκτος ἔλαφον εὑρόντες περὶ τούτου ἐμάχοντο· δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντων,

ἐπειδὴ ἐσκοτώθη, ἡμιθανεῖς ἔκειντο. Ἀλώπηξ δὲ παριοῦσα ὡς ἐθεάσατο τοὺς μὲν παρειμένους, τὸν δὲ νεβρὸν ἔσω κείμενον, ἀραμένη αὐτὸν διὰ μέσου αὐτῶν ἀπηλλάττετο. Οἱ δὲ ἐξαναστῆναι μὴ δυνάμενοι ἔφασαν, Ἄθλιοι ἡμεῖς, εἴ γε ἀλώπεκι ἐμοχθοῦμεν.

Εὐλόγως ἐκεῖνοι ἄχθονται, οἳ τῶν ἰδίων καμάτων τοὺς τυχόντας ὁρῶσι τὰς ἐπικαρπίας ἐπιφερομένους.

CXLVI. Λέων καὶ Λαγωός. (N. 228. Fl. 97.)

Λέων ἐπιτυχὼν λαγωῷ κοιμωμένῳ τοῦτον ἔμελλε καταφαγεῖν· μεταξὺ δὲ θεασαμένη ἔλαφον παριοῦσαν, ἀφεὶς τὸν λαγωὸν ἐκείνην ἐδίωκεν. Ὁ μὲν οὖν ἀπὸ τῶν ψόφων ἐξαναστὰς ἔφευγεν· ὁ δὲ λέων, ἐπὶ πολὺ διώξας τὴν ἔλαφον, ἐπειδὴ καταλαβεῖν οὐκ ἠδυνήθη, ἐπανῆλθεν ἐπὶ τὸν λαγωόν· εὑρὼν δὲ καὶ αὐτὸν πεφευγότα ἔφη, Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι ἀφεὶς τὴν ἐν χερσὶ βορὰν, ἐλπίδα μείζονα προὔκρινα.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων μὴ μετρίοις κέρδεσιν ἐπαρκούμενοι λανθάνουσι καὶ τὰ ἐν χερσὶ προϊέμενοι.

CXLVII. Λέων, Ὄνος καὶ Ἀλώπηξ. (N. 38. Fl. 109. Cor. 38.)

Λέων καὶ ὄνος καὶ ἀλώπηξ κοινωνίαν πρὸς ἀλλήλους ποιησάμενοι ἐξῆλθον εἰς ἄγραν· πολλὰ

δὲ αὐτῶν συλλαβόντων, ὁ λέων προσέταξε τῷ ὄνῳ διελεῖν αὐτοῖς· τοῦ δὲ τρεῖς μοίρας ποιήσαντος, καὶ ἐκλέξασθαι αὐτῷ παραινοῦντος, ὁ λέων ἀγανακτήσας, ἀλλόμενος κατεθοινήσατο [τὸν ὄνον,] καὶ τῇ ἀλώπεκι μερίσαι προσέταξεν. Ἡ δὲ πάντα εἰς μίαν μερίδα συναθροίσασα καὶ μικρὰ ἑαυτῇ ἀπολιπομένη παρῄνει αὐτῷ ἑλέσθαι· ἐρομένου δ' αὐτὴν τοῦ λέοντος, καὶ τίς αὐτὴν διανέμειν ἐδίδαξεν; ἡ ἀλώπηξ εἶπεν, Αἱ τοῦ ὄνου συμφοραί.

Ὁ λόγος δηλοῖ, ὅτι σωφρονισμὸς γίνεται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

CXLVIII. Λέων καὶ Μῦς. (N. 221. Fl. 98.)

Λέοντος κοιμωμένου μῦς τῷ σώματι ἐπέδραμεν· ὁ δὲ ἐξαναστὰς καὶ συλλαβὼν αὐτὸν [ἔμελλε καταθοινήσασθαι. Ὁ δ'] ἐδεήθη αὐτοῦ μὴ φαγεῖν αὐτὸν, λέγων, ὅτι σωθεὶς πολλὰς χάριτας αὐτῷ ἀποδώσει. Γελάσας δὲ αὐτὸν ἀπέλυσε. Συνέβη οὖν αὐτὸν μετ' οὐ πολὺ τῇ τοῦ μυὸς χάριτι περισωθῆναι. Ἐπειδὴ γὰρ συλληφθεὶς ὑπό τινων κυνηγῶν κάλῳ ἐδέθη ἐπί τινι δένδρῳ, τηνικαῦτα ὁ μῦς ἀκούσας αὐτοῦ στένοντος ἐλθὼν τὸν κάλων περιέτρωγε, καὶ λύσας ἔφη, Σὺ μὲν οὕτω μου κατεγέλασας, μὴ προσδοκῶν παρ' ἐμοῦ ἀμοιβὴν κομίσασθαι· νῦν δ' ἴσθι, ὅτι ἔστι καὶ παρὰ μυσὶ χάρις.

CXLIX. Λέων καὶ Ὄνος. (N. 230. Fl. 99.)

Λέων καὶ ὄνος κοινωνίαν πρὸς ἀλλήλους σπει-

σάμενοι ἐξῆλθον ἐπὶ θήραν· γενομένων δὲ αὐτῶν κατά τι σπήλαιον, ἐν ᾧ ἦσαν ἄγριαι αἶγες, ὁ μὲν λέων πρὸ τοῦ στομίου στὰς ἐξιούσας παρετηρεῖτο, ὁ δὲ εἰσελθὼν ἤλαυνεν αὐτὰς, καὶ ὠγκᾶτο ἐκφοβεῖν βουλόμενος. Τοῦ δὲ λέοντος τὰς πλείστας συλλαβόντος, ἐξελθὼν ἐπυνθάνετο αὐτοῦ, εἰ γενναίως ἠγωνίσατο, καὶ τὰς αἶγας ἐδίωξεν; Ὁ δὲ εἶπεν, Ἀλλὰ εὖ ἴσθι, ὅτι κἀγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ᾔδειν ὄνον ὄντα σε.

Οὕτως οἱ παρὰ τοῖς εἰδόσιν ἀλαζονευόμενοι γέλωτα ὀφλισκάνουσι.

CL. *Ληστὴς καὶ Συκάμινος.* (Fl. 100.)

Ληστὴς ἐν ὁδῷ τινα ἀποκτείνας, ἐπειδὴ παρὰ τῶν ἐπιτυχόντων ἐδιώκετο, καταλιπὼν αὐτὸν ἔφυγε. Τῶν δὲ ἄντικρυς ὁδευόντων πυνθανομένων αὐτοῦ, τίνι μεμολυσμένας ἔχοι τὰς χεῖρας, ἔλεγεν ἀπὸ συκαμίνου καταβεβηκέναι· καὶ ὡς ταῦτα ἔλεγεν, ἐπελθόντες οἱ διώκοντες αὐτὸν [οἱ διώκοντες αὐτὸν] καὶ συλλαβόμενοι εἴς τινα συκάμινον αὐτὸν ἐσταύρωσαν. Ἡ δὲ συκάμινος ἔφη, Ἀλλ' ἔγωγε οὐκέτι ἄχθομαι πρὸς τὸν σὸν θάνατον ὑπηρετοῦσα· καὶ γὰρ ὃν αὐτὸς φόνον κατειργάσω, τοῦτον εἰς ἐμὲ ἐξαιμάτωσας.

Οὕτως πολλάκις καὶ οἱ φύσει χρηστοὶ, ὅταν ὑπό τινων ὡς φαῦλοι διαβάλλωνται, κατ' αὐτῶν πονηρεύεσθαι οὐκ ὀκνοῦσι.

CLI. *Λύκοι καὶ Πρόβατα.* (N. 241. Cor. 237.)

Λύκοι ἐπιβουλεύοντες ποίμνῃ προβάτων, ἐπειδὴ οὐκ ἠδύναντο αὐτῶν περιγενέσθαι διὰ τοὺς φυλάσσοντας αὐτὰ κύνας, ἔγνωσαν δεῖν διὰ δόλου τοῦτο πρᾶξαι· καὶ πέμψαντες πρέσβεις ἐξήτουν παρ' αὐτῶν τοὺς κύνας, λέγοντες, ἐκείνους τῆς ἔχθρας ὄντας αἰτίους ἐγχειρίζεσθαι [δεῖν] αὐτοῖς, καὶ εἰρήνην μεταξὺ αὐτῶν γενήσεσθαι. Τὰ δὲ πρόβατα μὴ προβλέποντα τὸ μέλλον ἐξέδωκαν τοὺς κύνας καὶ οἱ λύκοι περιγενόμενοι ἐκείνων ῥᾳδίως τὴν ποίμνην ἀφύλακτον οὖσαν διέφθειραν.

Οὕτω καὶ τῶν πόλεων αἱ τοὺς δημηγόρους ῥᾳδίως προδιδοῦσαι λανθάνουσι καὶ αὐταὶ ταχέως πολεμίοις χειρούμεναι.

CLII. *Λύκος καὶ Ἄρην.* (N. 232. Fl. 101. Cor. 229.)

Λύκος θεασάμενος ἄρνα ἀπό τινος ποταμοῦ πίνοντα, τοῦτον ἠβουλήθη μετά τινος εὐλόγου αἰτίας καταθοινήσασθαι. Διόπερ στὰς ἀνωτέρω ᾐτιᾶτο αὐτὸν ὡς θολοῦντα τὸ ὕδωρ, καὶ πίνειν αὐτὸν οὐκ ἐῶντα. Τοῦ δὲ λέγοντος, ὡς ἄκροις τοῖς χείλεσι πίνει, καὶ ἄλλως οὐ δυνατὸν [αὐτοῦ ἑστῶτος κάτω] ἐπάνω ταράσσειν τὸ ὕδωρ, ὁ λύκος ἀποτυχὼν ταύτης τῆς αἰτίας ἔφη, Ἀλλὰ πέρυσι τὸν πατέρα μου ἐλοιδόρησας. Εἰπόντος

δὲ ἐκείνου, μηδέπω γεννηθῆναι, ὁ λύκος ἔφη πρὸς αὐτὸν, Ἐὰν σὺ ἀπολογιῶν εὐπορῇς, ἐγώ σε οὐ κατέδομαι.

Ὁ λόγος δηλοῖ, ὅτι οἷς πρόθεσίς ἐστιν ἀδικεῖν, παρ᾽ αὐτοῖς οὐδὲ δικαία ἀπολογία ἐστί.

CLIII. Λύκος καὶ Ἐρωδιός. (N. 144. Fl. 94. et 102. Cor. 144.)

Λύκος καταπιὼν ὀστοῦν περιῄει ζητῶν τὸν ἰασόμενον· περιτυχὼν δὲ ἐρωδιῷ, τοῦτον παρεκάλει ἐπὶ μισθῷ τὸ ὀστοῦν ἐξελεῖν· κἀκεῖνος καθεὶς τὴν ἑαυτοῦ κεφαλὴν εἰς τὸν φάρυγγα αὐτοῦ τὸ ὀστοῦν ἐξέσπασε, καὶ τὸν ὁμολογηθέντα μισθὸν ἐζήτει. Ὁ δὲ λύκος [γελάσας καὶ τοὺς ὀδόντας θήξας] φησὶν, Ἀρκεῖ σοι καὶ τὸ μόνον σώαν ἐξελεῖν τὴν κεφαλήν.

Ὁ λόγος δηλοῖ, ὅτι μεγίστη παρὰ τοῖς πονηροῖς εὐεργεσία τὸ μὴ προσαδικεῖσθαι ὑπ᾽ αὐτῶν.

CLIV. Λύκος καὶ Αἴξ. (N. 234. Fl. 103. Synt. 44.)

Λύκος θεασάμενος αἶγα ἐπί τινος κρημνοῦ νεμομένην, ἐπειδὴ οὐκ ἠδύνατο αὐτῆς ἐφικέσθαι, παρῄνει αὐτῇ κατωτέρω καταβῆναι, μὴ καὶ πέσῃ λαθοῦσα, λέγων, ὡς καὶ λειμῶνες παρ᾽ αὐτῷ, καὶ ἡ πόα φαιδροτέρα. Ἡ δὲ πρὸς αὐτὸν ἔφη, Ἀλλ᾽ οὐκ ἐμὲ ἐπὶ νομὴν καλεῖς, αὐτὸς δὲ τροφῆς ἀπορεῖς.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ, ὅταν περὶ τοῖς εἰδόσι πονηρεύωνται, ἀνόνητοι τῶν τεχνασμάτων γίνονται.

CLV. *Λύκος καὶ Γραῦς.* (N. 138. Fl. 104. Cor. 138. et p. 337.)

Λύκος λιμώττων περιῄει ζητῶν ἑαυτῷ τροφήν· ὡς δὲ ἐγένετο κατά τινα τόπον, ἀκούσας γραὸς παιδὶ κλαίοντι ἀπειλουμένης, ὡς, ἂν μὴ παύσηται, βαλεῖ λύκῳ, οἰόμενος ἀληθεύειν προσέμενεν. Ἑσπέρας δὲ γενομένης, ὡς οὐδὲν τοῖς λόγοις ἀκόλουθον ἐγένετο, ἀπαλλαττόμενος ἔφη, Ἐν ταύτῃ τῇ ἐπαύλει οἱ ἄνθρωποι ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ ποιοῦσιν.

Ὁ λόγος ἁρμόσει τοῖς μὴ τοῖς λόγοις τὰ ἔργα ἔχουσιν ἑπόμενα.

CLVI. *Λύκος καὶ Παιδίον.* (R. Steph. p. 71. Cor. p. 379.)

Λύκος τροφῆς κεκορεσμένος ἐπειδὴ ἐθεάσατο παιδίον ἐπὶ γῆς βεβλημένον, αἰσθόμενος ὅτι διὰ τὸν ἑαυτοῦ φόβον ἐπεπτώκει, προσελθὼν παρεθάῤῥυνεν αὐτὸ λέγων, ὡς ἂν τρεῖς λόγους ἀληθεῖς αὐτῷ εἴπῃ, ἀπολύει αὐτό. Καὶ ἀρξάμενος ἔλεγε, πρῶτον, μὴ βούλεσθαι αὐτῷ περιτυχεῖν, δεύτερον, παραπλησίως ἡμαρτηκέναι τυφλῷ· τρίτον, Κακοὶ κακῶς ἀπολοῦνται πάντες οἱ λύκοι, ὅτι μηδὲν πα-

θόντες ὑφ' ἡμῶν κακῶς πολεμεῖτε ἡμᾶς. Καὶ ὁ λύκος ἀποδεξάμενος τὸ ἀψευδὲς αὐτοῦ ἀπέλυσεν αὐτό.

Ὁ λόγος δηλοῖ, ὅτι πολλάκις ἡ ἀλήθεια καὶ παρὰ πολεμίοις ἰσχύει.

CLVII. *Λύκος καὶ Πρόβατον.* (N. 106.)

Λύκος ὑπὸ κυνῶν δηχθεὶς καὶ κακῶς πάσχων ἐβέβλητο τροφὴν ἑαυτῷ περιποιούμενος· θεασάμενος δὲ πρόβατον, τούτου ἐδεήθη ποτὸν αὐτῷ ὀρέξαι ἐκ τοῦ παραῤῥέοντος ποταμοῦ· ἐὰν γὰρ σύ μοι ποτὸν δῷς, ἐγὼ τὴν τροφὴν ἐμαυτῷ εὑρίσκω. Τὸ δὲ ὑποτυχὸν ἔφη, Ἐὰν ποτόν σοι ἐγὼ ἐπιδώσω, καὶ τροφήν με χρή.

Πρὸς ἄνδρα κακοῦργον δι' ὑποκρίσεως ἐνεδρεύοντα ὁ λόγος εὔκαιρος.

CLVIII. *Λέαινα καὶ Ἀλώπηξ.* (N. 219. Fl. 106. et 189.)

Λέαινα ὀνειδιζομένη ὑπὸ ἀλώπεκος ἐπὶ τῷ διὰ παντὸς ἕνα τίκτειν, ἔφη, Ἀλλὰ λέοντα.

Ὅτι τὸ καλὸν οὐκ ἐν πλήθει δεῖ μετρεῖν, ἀλλὰ πρὸς ἀρετὴν ἀφορᾷν.

CLIX. *Λέων καὶ Ἀρνίον.* (N. 232. Fl. 107.)

Λύκος ἀρνίον ἐδίωκε· τὸ δὲ εἰς τὸ ἱερὸν κατέ-

φυγε· προκαλουμένου δὲ τοῦ λύκου καὶ λέγοντος, ὅτι θυσιάσει αὐτὸ ὁ ἱερεὺς, ἔφη πρὸς αὐτὸν, Ἀλλ' αἱρετώτερόν μοί ἐστι θυσίαν γενέσθαι ἢ ὑπὸ σοῦ διαφθαρῆναι.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φιλονεικοῦντες τοῖς κρείττοσι τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

CLX. *Λαγωοὶ καὶ Ἀλώπεκες.* (N. 107. Fl. 108. Synt. 22.)

Λαγωοί ποτε πολεμοῦντες ἀετοῖς παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας· αἱ δὲ ἔφασαν, Ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν, τίνες ἦτε, καὶ τίσι πολεμεῖτε.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φιλονεικοῦντες τοῖς κρείττοσι σὺν τῷ διαμαρτεῖν καὶ καταπαίζονται.

CLXI. *Μέλισσαι καὶ Ζεύς.* (N. 244. Flor. 114. Tyrwh. p. 25.)

Μέλισσαι φθονήσασαι ἀνθρώποις τοῦ ἰδίου μέλιτος ἧκον πρὸς τὸν Δία, καὶ ἐδέοντο, ὅπως ἰσχὺν παράσχηται αὐταῖς, τοῖς κέντροις τοὺς προσιόντας τῆς κηρίοις ἀναιρεῖν. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῶν διὰ τὴν βασκανίαν παρεσκεύασεν αὐτὰς, ἡνίκα ἂν τινας τύπτωσι, τὸ κέντρον ἀποβάλλειν, μετὰ δὲ τοῦτο καὶ σωτηρίας στερίσκεσθαι.

Ὁ λόγος ἁρμόσει πρὸς ἄνδρας βασκάνους, οἳ καὶ αὐτοὶ βλάπτεσθαι ὑπομένουσι.

CLXII. *Μηναγύρται.* (N. 245.)

Μηναγύρται ὄνον ἔχοντες τούτῳ εἰώθασι τὰ σκεύη ὁδοιποροῦντες ἐπιτιθέναι. Καὶ δή ποτε ἀποθανόντος αὐτοῦ ὑπὸ κόπου, ἐκδείραντες αὐτὸν ἐκ τοῦ δέρματος τύμπανα κατεσκεύασαν, καὶ τούτοις ἐχρῶντο. Ἑτέρων δὲ αὐτοῖς μηναγυρτῶν ἀπαντησάντων καὶ πυνθανομένων αὐτῶν, ποῦ ἂν εἴη ὁ ὄνος ἡμῶν, ἔφασαν τεθνηκέναι μὲν αὐτὸν, πληγὰς δὲ τοσαύτας λαμβάνειν, ὅσας ζῶν οὐχ ὑπήνεγκεν.

Οὕτω καὶ τῶν οἰκετῶν ἔνιοι περὶ τῆς ἐλευθερίας ἐφιέμενοι τῶν δουλικῶν ἀρχῶν οὐκ ἀπαλλάττονται.

CLXIII. *Μῦες καὶ Γαλαῖ.* (N. 246. Fl. 115. Synt. 51. Cor. 242.)

Μυσὶ καὶ γαλαῖς πόλεμος ἦν· ἀεὶ δὲ οἱ μῦες ἡττώμενοι, ἐπειδὴ συνῆλθον εἰς ταὐτὸν, ὑπέλαβον, ὅτι δι᾽ ἀναρχίαν τοῦτο πάσχουσιν. Ὅθεν ἐπιλεξάμενοί τινας ἑαυτῶν στρατηγοὺς ἐχειροτόνησαν· οἱ δὲ βουλόμενοι ἐπισημότεροι τῶν ἄλλων εἶναι, κέρατα κατασκευάσαντες ἑαυτοῖς συνῆψαν. Ἐνστάσης δὲ τῆς μάχης, συνέβη πάντας τοὺς μῦας ἡττηθῆναι· οἱ μὲν οὖν ἄλλοι πάντες ῥαδίως εἰσέδυον, οἱ δὲ στρατηγοὶ, μὴ δυνάμενοι εἰσελθεῖν διὰ τὰ κέρατα αὐτῶν, συλλαμβανόμενοι κατησθίοντο.

Οὕτω πολλοῖς ἡ κενοδοξία κακῶν αἰτία διὰ φιληδονίαν γίνεται.

CLXIV. Μύρμηξ. (N. 108. Fl. 116.)

Μύρμηξ ὁ νῦν τὸ παλαιὸν ἄνθρωπος ἦν, καὶ τῇ γεωργίᾳ προσέχων τοῖς ἰδίοις πόνοις οὐκ ἠρκεῖτο, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἐποφθαλμίζων διετέλει, τοὺς τῶν γειτόνων καρποὺς ὑφαιρούμενος. Ὁ δὲ Ζεὺς ἀγανακτήσας κατὰ τῆς πλεονεξίας αὐτοῦ μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῶον, ὃ καλεῖται μύρμηξ. Ὁ δὲ καὶ τὴν μορφὴν ἀλλάξας τὴν διάθεσιν οὐ μετέβαλε· μέχρι γὰρ νῦν κατὰ τὰς ἀρούρας περιϊὼν τοὺς πόνους τῶν ἄλλων συνάγει, καὶ ἑαυτῷ ἀποθησαυρίζει.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φύσει πονηροὶ, κἂν τὰ μάλιστα κολάζωνται, τὸν τρόπον οὐκ ἀποτίθενται.

CLXV. Μύρμηξ καὶ Περιστερά. (N. 41. Fl. 118.)

Μύρμηξ διψήσας κατελθὼν εἴς τινα πηγὴν βουλόμενος πιεῖν ἀπεπνίγετο· περιστερὰ δὲ ἐν τῷ περιεστηκότι δένδρῳ κλάσασα φύλλον ἔβαλε, δι' οὗ ἐπιβὰς ὁ μύρμηξ διεσώθη. Ἰξευτὴς δὲ παραστὰς, καὶ συνθεὶς τοὺς καλάμους, τὴν περιστερὰν λαβεῖν ἤθελεν· ὁ δὲ μύρμηξ δακὼν εἰς τὸν πόδα τὸν ἰξευτὴν τοὺς καλάμους διασεῖσαι ἐποίησε, τὴν δὲ περιστερὰν φυγεῖν.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τὰ ἄλογα ζῶα αἴσθησιν ἔχει, καὶ ἀλλήλοις ὠφελεῖ.

CLXVI. *Ναυαγὸς καὶ Θάλασσα.* (N. 251. Fl. 348.)

Ναυαγὸς ἐκβρασθεὶς εἴς τινα αἰγιαλὸν διὰ τὸν κόπον ἐκοιμᾶτο· μετὰ δὲ μικρὸν ἐξαναστὰς, ὡς ἐθεάσατο πρὸς τὴν θάλασσαν, ἐμέμφετο αὐτὴν, ὅτι δελεάζουσα τοὺς ἀνθρώπους τῇ μὲν τῆς ὄψεως λαμπρότητι, ἡνίκα ἂν αὐτοὺς προσδέξηται, ἐπαγριουμένη διαφθείρει. Ἡ δὲ γυναικὶ ὁμοιωθεῖσα πρὸς αὐτὸν ἔφη, Ἀλλ' ὦ οὗτος, μὴ μέμφου ἐμὲ, ἀλλὰ τοὺς ἀνέμους· ἐγὼ γὰρ φύσει τοιαύτη εἰμὶ, ὁποία ἡ γῆ· οἱ δὲ αἰφνίδιοι ἐμπίπτοντες κυματοῦσι καὶ ἐξαγριαίνουσιν.

Ἀτὰρ οὖν καὶ ἡμᾶς ἐπὶ τῶν ἀδικημάτων οὐ δεῖ τοὺς δρῶντας αἰτιᾶσθαι, ὅταν ἑτέροις ὑποτεταγμένοι ὦσι, τοὺς δὲ τούτοις ἐπιστατοῦντας.

CLXVII. *Νυκτερὶς, Βάτος καὶ Αἴθυια.* (N. 42. Fl. 124. Synt. 36.)

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια πρὸς ἀλλήλους κοινωνίαν σπεισάμενοι ἐμπορεύεσθαι διέγνωσαν. Καὶ ἡ μὲν νυκτερὶς ἀργύριον δανεισαμένη εἰς μέσον κατέθηκεν· ἡ δὲ βάτος ἐσθῆτα ἐνεβάλετο, ἡ δὲ αἴθυια τὸ πλοῖον. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νηὸς περιτραπείσης, [πάντα ἀπολέσαντες αὐτοὶ ἐπὶ τὴν γῆν διεσώ-

θησαν. Καὶ ἡ μὲν αἴθυια ἀπ' ἐκείνου τὸ πλοῖον ζητοῦσα ἐπὶ τοῦ βυθοῦ δύνει, οἰομένη ποτὲ εὑρήσειν· ἡ δὲ νυκτερὶς τοὺς δανειστὰς φοβουμένη ἡμέρας οὐ φαίνεται, νυκτὸς δὲ ἐπὶ νομὴν ἔξεισιν. Ἡ δὲ βάτος τὰς ἐσθῆτας ἐπιζητοῦσα τῶν παριόντων ἐπιλαμβάνεται ἱματίων, προσδοκῶσα τὰ ἴδια ἐπιγνώσεσθαι.

Ὁ λόγος δηλοῖ, ὅτι περὶ ταῦτα μᾶλλον σπουδάζομεν, περὶ ἃ πρότερον πταίσωμεν.

CLXVIII. Ξυλευόμενος καὶ Ἑρμῆς. (N. 44. Fl. 127. Cor. 44.)

Ξυλευόμενός τις κατά τινα ποταμὸν τὸν πέλεκυν ἀπέβαλε· τοῦ δὲ ῥεύματος παρασύραντος αὐτὸν, καθήμενος ἐπὶ τῆς ὄχθης ὠδύρετο, μέχρις οὗ ὁ Ἑρμῆς ἐλεήσας αὐτὸν ἧκεν, καὶ μαθὼν τὴν αἰτίαν, δι' ἣν ἔκλαιε, τὸ μὲν πρῶτον καταβὰς χρυσοῦν πέλεκυν αὐτῷ ἀνήνεγκε, καὶ ἐπυνθάνετο, εἰ οὗτος εἴη· τοῦ δὲ εἰπόντος, μὴ τοῦτον εἶναι, ἐκ δευτέρου ἀργυροῦν ἀνήνεγκεν, καὶ πάλιν ἠρώτα, εἰ τοῦτον ἀπέβαλεν. Ἀρνησαμένου δὲ καὶ τοῦτον, τὸ τρίτον αὐτῷ τὴν ἰδίαν ἀξίνην ἐκόμισε· τοῦ δὲ ἐπιγνόντος, ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην πάσας αὐτῷ ἐχαρίσατο. Καὶ ὃς ἀνελόμενος, ἐπειδὴ παρεγένετο πρὸς τοὺς ἑταίρους, τὰ γεγενημένα αὐτοῖς διηγήσατο. Τῶν δέ τις ἐποφθαλμιάσας ἐβουλήθη καὶ αὐτὸς τῶν ἴσων περιγενέσθαι· διόπερ

ἀναλαβὼν πέλεκυν παρεγένετο ἐπὶ τὸν αὐτὸν ποταμὸν, καὶ ξυλευόμενος ἐπίτηδες τὴν ἀξίνην εἰς τὰς δίνας ἀφῆκε, καθιζόμενός τε ἔκλαιεν. Ἑρμοῦ δὲ φανέντος καὶ πυνθανομένου, τί τὸ συμβεβηκὸς εἴη, ἔλεγε τὴν τοῦ πελέκυος ἀπώλειαν. Τοῦ δὲ χρυσοῦν αὐτῷ ἀνενεγκόντος καὶ διερωτῶντος, εἰ τοῦτον ἀπώλεσεν, ὑπὸ τοῦ κέρδους ὑποφθὰς ἔφασκεν, αὐτὸν εἶναι· καὶ ὁ θεὸς αὐτῷ οὐκ ἐχαρίσατο, ἀλλ' οὐδὲ τὸν πέλεκυν ἀποκατέστησεν.

Ὁ λόγος δηλοῖ, ὅτι ὅσον τοῖς δικαίοις τὸ θεῖον συναγωνίζεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

CLXIX. *Ὁδοιπόρος καὶ Τύχη.* (N. 256. Fl. 62. Cor. p. 388.)

Ὁδοιπόρος πολλὴν ὁδὸν ἀνύσας, ἐπειδὴ κόπῳ συνείχετο, πεσὼν παρὰ τὸ φρέαρ ἐκοιμᾶτο. Μέλλοντος δὲ αὐτοῦ ὅσον οὔπω καταπίπτειν, ἡ Τύχη ἐπιστᾶσα καὶ διεγείρασα αὐτὸν εἶπεν, Ὦ οὗτος, εἴγε ἐπεπτώκεις, οὐκ ἂν τὴν σεαυτοῦ ἀβουλίαν, ἀλλ' ἐμὲ ᾐτιῶ.

CLXX. *Ὁδοιπόροι καὶ Πλάτανος.* (N. 255. Fl. 129.)

Ὁδοιπόροι δύο θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος τρυχόμενοι, ὡς ἐθεάσαντο πλάτανον, ὑπὸ ταύτην καταντήσαντες, καὶ ἐν τῇ σκιᾷ κατακλιθέντες ἀνεπαύοντο. Ἀναβλέψαντες δὲ εἰς τὴν πλάτανον ἔλεγον πρὸς ἀλλήλους, ὡς ἀνωφελὲς

τοῦτο καὶ ἄκαρπον ἀνθρώποις ἐστὶ τὸ δένδρον. Ἡ δὲ ὑποτυχοῦσα ἔφη, Ὦ ἀχάριστοι, ἔτι τῆς ἐξ ἐμοῦ εὐεργεσίας ἀπολαύοντες ἀχρείαν με καὶ ἄκαρπον ἀποκαλεῖτε;

Οὕτω καὶ τῶν ἀνθρώπων τινὲς οὕτω ἀτυχεῖς εἰσιν, ὡς καὶ εὐεργετοῦντες τοὺς πέλας ἐπὶ τῇ χρηστότητι ἀπιστεῖσθαι.

CLXXI. Ὁδοιπόρος καὶ Ἔχις. (N. 173. Fl. 130. Synt. 25. Cor. 170.)

Ὁδοιπόρος χειμῶνος ὁδεύων, ὡς ἐθεάσατο ἔχιν ὑπὸ τοῦ κρύους διαφθειρόμενον, τοῦτον ἐλεήσας ἀνείλετο, καὶ βαλὼν εἰς τὸν ἑαυτοῦ κόλπον, θερμαίνειν ἐπειρᾶτο. Ὁ δὲ, μέχρι μὲν ὑπὸ τοῦ ψύχους συνείχετο, ἠρέμει· ἐπειδὴ δὲ ἐθερμάνθη, καὶ ἀνεζωώθη, τὴν αὐτοῦ γαστέρα ἔδακε. Καὶ ὃς ἀποθνήσκειν μέλλων ἔφη, Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ τοῦτον ἀπολλύμενον ἔσωζον, ὃν ἔδει καὶ ἐῤῥωμένον ἀναιρεῖν;

Ὁ λόγος δηλοῖ, ὅτι πονηρία εὐεργετουμένη πρὸς τῷ ἀμοιβὰς οὐκ ἀποδιδόναι καὶ κατὰ τῶν εὐεργετῶν ἀναπτεροῦται.

CLXXII. Ὁδοιπόροι. (N. 110.)

Ὁδοιπόροι κατά τινα αἰγιαλὸν ὁδεύοντες, ὡς ἦλθον ἐπί τινα σκοπιὰν, ἔνθεν θεασάμενοι φρύγανα πόῤῥωθεν ἐπιπλέοντα ᾠήθησαν ναῦν εἶναι μεγάλην· διὸ προσέμενον, ὡς μέλλου-

σαν προσορμίζεσθαι. Ἐπεὶ δὲ ὑπὸ ἀνέμου φερόμενα τὰ φρύγανα μικρὸν προσήγγιζον, ἐπεκαραδόκουν πλοῖον εἶναι οὐκέτι μέγα, ὡς τὸ πρότερον. Ἐξενεχθέντων δ' αὐτῶν, καὶ ἰδόντων αὐτὰ φρύγανα ὄντα, ἔφασαν πρὸς ἀλλήλους, Τὸ μηδὲν ὂν ἡμεῖς μάτην προσδεχόμεθα.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς διάπειραν ἔλθωσιν, εὑρίσκονται οὐδενὸς ἄξιοι.

CLXXIII. *Ὁδοιπόρος καὶ Ἑρμῆς.* (N. 47. Fl. 156.)

Ὁδοιπόρος πολλὴν ὁδὸν ἀνύων ηὔξατο ὧν ἂν εὕρῃ τι τὸ ἥμισυ τῷ Ἑρμῇ ἀναθεῖναι. Περιτυχὼν δὲ πήρᾳ, ἐν ᾗ ἀμύγδαλά τε ἦσαν καὶ φοίνικες, ταύτην ἀνείλετο, οἰόμενος ἀργύριον εἶναι. Ἐκτινάξας δὲ ὡς εὗρε τὰ ἐνόντα, [καταφαγών τε ταῦτα, καὶ] λαβὼν τῶν τε ἀμυγδάλων τὰ κελύφη καὶ τῶν φοινίκων τὰ ὀστᾶ, ταῦτα ἐπί τινος βωμοῦ ἔθηκεν, εἰπὼν, Ἀπέχεις, ὦ Ἑρμῆ, τὴν εὐχήν· καὶ γὰρ τὰ ἐκτὸς ὧν εὗρον, καὶ τὰ ἐντὸς πρὸς σὲ διανενόμηκα.

Πρὸς ἄνδρα φιλάργυρον, διὰ πλεονεξίαν καὶ θεοὺς κατασοφιζόμενον, ὁ λόγος εὔκαιρος.

CLXXIV. *Δέλφαξ καὶ Ἀλώπηξ.* (N. 179. Fl. 151.)

Ὄνῳ τὶς ἐπιθεὶς αἶγα καὶ πρόβατον καὶ δέλ-

φακα, ἤλαυνεν εἰς ἄστυ. Τοῦ δὲ δέλφακος παρ' ὅλην τὴν ὁδὸν κεκραγότος, ἀλώπηξ ἀκούσασα ἐπυνθάνετο αὐτοῦ τὴν αἰτίαν, δι' ἣν, τῶν λοιπῶν μεθ' ἡσυχίας φερομένων, μόνος αὐτὸς βοᾷ; Ὁ δὲ ὑποτυχὼν ἔφη, Ἀλλ' ἔγωγε οὐ μάτην ὀδύρομαι· εὖ γὰρ οἶδα, ὅτι τοῦ μὲν προβάτου ἔριά τε καὶ ἄρνας παρεχομένου ὁ δεσπότης ἀφέξεται· ὁμοίως δὲ καὶ τῆς αἰγὸς διὰ τοὺς τυροὺς καὶ τοὺς ἐρίφους· ἐμοὶ δὲ οὐκ ἔχων εἰς ἄλλο τι χρήσασθαι, πάντως με θύσειεν.

Οὕτω καὶ τῶν ἀνθρώπων οὐ μεμπτέοι εἰσὶν, ὅσοι τὰς μελλούσας προορώμενοι συμφορὰς ἀποκλαίονται.

CLXXV. Ὄνος καὶ Κηπωρός. (N. 45. Fl. 132.)

Ὄνος κηπωρῷ δουλεύων, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πολλὰ δὲ ἐκακοπάθει, ηὔξατο τῷ Διΐ, ὅπως τοῦ κηπωροῦ αὐτὸν ἀπαλλάξας, ἑτέρῳ δεσπότῃ ἐγχειρίσῃ. Ὁ δὲ Ἑρμῆν πέμψας ἐκέλευε κεραμεῖ αὐτὸν πωλῆσαι. Πάλιν δὲ αὐτοῦ δυσφοροῦντος, ἐπειδὴ καὶ πολλῷ πλεῖον ἀχθοφορεῖν ἠναγκάζετο, καὶ τὸν Δία ἐπικαλουμένου, τὸ τελευταῖον ὁ Ζεὺς παρεσκεύασεν αὐτὸν βυρσοδέψῃ πωληθῆναι. Καὶ ὁ ὄνος ἰδὼν τὰ ὑπὸ τοῦ δεσπότου πραττόμενα, ἔφη, Ἀλλ' ἔμοιγε αἱρετώτερον ἦν παρὰ τοῖς προτέροις δεσπόταις ἀχθοφοροῦντι λιμώττειν, ἢ ἐνταῦθα παραγενέσθαι, ὅπου οὐδὲ, ἂν ἀποθάνω, ταφῆς τεύξομαι.

Ὁ λόγος δηλοῖ, ὅτι τότε μάλιστα τοὺς πρώτους δεσπότας ποθοῦσιν οἱ οἰκέται, ὅταν ἑτέρων πεῖραν λάβωσι.

CLXXVI. *Ὄνος ἅλας βαστάζων.* (N. 258. Fl. 122. Cor. 254.)

Ὄνος ἅλας βαστάζων ποταμὸν διήρχετο· ὀλισθήσας δὲ ὡς κατέπεσεν εἰς τὸ ὕδωρ, ἐκτακέντος τοῦ ἁλὸς, κουφότερος ἐξανέστη· εὐφρανθεὶς δὲ ἐπὶ τούτῳ, ἐπειδὴ ὕστερόν ποτε σπόγγους ἐμπεφορτισμένος ποταμὸν διέβαινεν, ᾠήθη [δεῖν] ὅτι, ἐὰν πάλιν πέσῃ, ἐλαφρότερος διεγερθήσεται· καὶ δὴ ἑκὼν ὤλίσθησε. Συνέβη δ' αὐτῷ, τῶν σπόγγων ἀνασπασάντων τὸ ὕδωρ, μὴ δυναμένῳ ἐξανίστασθαι, ἐνταῦθα ἀποπνιγῆναι.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τὰς ἰδίας ἐπινοίας λανθάνουσι συμφορῶν αἰτίας ἔχοντες.

CLXXVII. *Ὄνος καὶ Ἡμίονος.* (N. 125. Fl. 24. et 133. Cor. p. 327.)

Ὀνηλάτης ἐπιθεὶς ὄνῳ καὶ ἡμιόνῳ γόμους ἤλαυνεν· ὁ δὲ ὄνος, μέχρι μὲν λεῖος τόπος ἦν, ἀντεῖχε πρὸς τὸ βάρος· ὡς δὲ ἐγένετο κατά τινα κρημνὸν, μὴ δυνάμενος ὑποφέρειν, παρεκάλει τὴν ἡμίονον, μέρος τι τοῦ γόμου αὐτοῦ προσδέξασθαι, ἵνα τὸ λοιπὸν αὐτὸς διακομίσηται. Τῆς δὲ παρ' οὐδὲν θεμένης αὐτοῦ τοὺς λόγους, ὁ μὲν κατακρημνισθεὶς διεῤῥάγη, ὁ δὲ ὀνηλάτης ἀπορῶν ὅ, τι

ποιήσει, οὐ μόνον τὸν γόμον τοῦ ὄνου τῷ ἡμιόνῳ προσέθηκεν, ἀλλὰ καὶ αὐτὸν τὸν ὄνον ἐκδείρας ἐπέθηκεν αὐτῇ. Ἡ δὲ οὐ μετρίως καταπονηθεῖσα ἔφη πρὸς ἑαυτὴν, Δίκαια πέπονθα· εἰ γὰρ παρακαλοῦντι τῷ ὄνῳ μικρὰ κουφίσαι ἐπείσθην, οὐκ ἂν νῦν μετὰ τῶν αὐτοῦ φορτίων καὶ αὐτὸν ἔφερον.

Οὕτω καὶ τῶν δανειστῶν ἔνιοι διὰ φιλαργυρίαν, ἵνα μικρὰ τοῖς χρεώσταις μὴ παράσχωσι, πολλάκις καὶ αὐτὸ τὸ κεφάλαιον ἀπολλύουσι.

CLXXVIII. Ὄνος βαστάζων ἄγαλμα. (N. 261. Fl. 135.)

Ὄνῳ τις ἐπιθεὶς ἄγαλμα ἦγεν εἰς ἄστυ· τῶν δὲ συναντώντων προσκυνούντων τὸ ἄγαλμα, ὁ ὄνος ὑπολαβὼν, ὅτι αὐτὸν προσκυνοῦσιν, ἀναπτερωθεὶς ὠγκᾶτό τε καὶ οὐκέτι περαιτέρω προϊέναι ἐβούλετο. Καὶ ὁ ὀνηλάτης αἰσθόμενος τὸ γεγονὸς, τῷ ῥοπάλῳ αὐτὸν παίων, ἔφη, Ὦ κακὴ κεφαλὴ, ἔτι καὶ τοῦτο λοιπὸν ἦν, ὄνον ὑπ' ἀνθρώπων προσκυνεῖσθαι.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἐπαλαζονευόμενοι παρὰ τοῖς εἰδόσιν αὐτοὺς γέλωτα ὀφλισκάνουσι.

CLXXIX. Ὄνος ἄγριος. (N. 111. Fl. 136.)

Ὄνος ἄγριος ὄνον ἥμερον ἰδὼν ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν ἐμακάριζεν αὐτὸν ἐπὶ τῇ εὐεξίᾳ τοῦ σώματος καὶ τῇ τῆς τρυφῆς ἀπολαύσει. Ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν ὀνηλάτην

ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη, Ἀλλ᾽ ἔγωγε οὐκέτι σε εὐδαιμονίζω· ὁρῶ γὰρ, ὅτι οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

Οὕτω οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν προςγινόμενα κέρδη.

CLXXX. Ὄνος καὶ Τέττιγες. (N. 259. Heus. Praef. Fl. 137. Synt. 1.)

Ὄνος ἀκούσας τεττίγων ᾀδόντων ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ, καὶ ζηλώσας αὐτῶν τὴν φωνὴν ἐπέλαθε καὶ τῆς οἰκείας φωνῆς.

Οὕτως οἱ τῶν παρὰ φύσιν ἐπιθυμοῦντες καὶ ἃ ἔχουσι δυστυχοῦσι.

CLXXXI. Ὄνοι πρὸς τὸν Δία. (N. 112. Fl. 138.)

Ὄνοι ποτὲ ἀχθόμενοι ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν, πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, λύσιν τινὰ αἰτούμενοι τῶν πόνων. Ὁ δ᾽ αὐτοῖς ἐπιδεῖξαι βουλόμενος, ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη, τότε αὐτοὺς ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποταμὸν ποιήσωσι. Κἀκεῖνοι, αὐτὸν ἀληθεύειν ὑπολαβόντες, ἀπ᾽ ἐκείνου καὶ μέχρι νῦν, ἔνθα ἂν ἀλλήλων οὖρον ἴδωσιν, ἐνταῦθα καὶ αὐτοὶ παριστάμενοι οὐροῦσιν.

Ὁ λόγος δηλοῖ, ὅτι τὸ ἑκάστῳ πεπρωμένον ἀθεράπευτόν ἐστι.

CLXXII. Ὄνος καὶ Ὀνηλάτης. (Fl. 139.)

Ὄνος ὑπὸ ὀνηλάτου ἀγόμενος, ὡς μικρὸν τῆς ὁδοῦ προῆλθεν, ἀφεὶς τὴν λείαν, εἰς κρημνὸν ἐφέρετο· μέλλοντος δ' αὐτοῦ κατακρημνίζεσθαι, ὁ ὀνηλάτης ἐπιλαβόμενος τῆς οὐρᾶς ἐπειρᾶτο περιάγειν αὐτόν· τοῦ δὲ εὐτόνως ἀντιπίπτοντος, ἀφεὶς αὐτὸν ἔφη, Νίκα· κακὴν γὰρ νίκην νικᾷς.

Πρὸς ἄνδρα φιλόνεικον ὁ λόγος εὔκαιρος.

CLXXIII. Ὄνος καὶ Λύκος. (N. 263. Fl. 134. et 140. Cor. 259.)

Ὄνος ἔν τινι λειμῶνι νεμόμενος ὡς ἐθεάσατο λύκον ἐπ' αὐτὸν ὁρμώμενον, χωλαίνειν προσεποιεῖτο. Τοῦ δὲ προσελθόντος αὐτῷ, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν χωλαίνει, ἔλεγεν, ὡς φραγμὸν διαβαίνων σκόλοπα ἐπάτησε, καὶ παρῄνει αὐτῷ πρῶτον ἐξελεῖν τὸν σκόλοπα, εἶθ' οὕτως αὐτὸν καταθοινήσασθαι, ἵνα μὴ ἐσθίοντος περιπαρῇ. Τοῦ δὲ πεισθέντος, καὶ τὸν πόδα αὐτοῦ ἐπάραντος, ὅλον τε τὸν νοῦν πρὸς τῇ ὁπλῇ ἔχοντος, ὁ ὄνος λὰξ εἰς τὸ στόμα τοὺς ὀδόντας αὐτοῦ ἐτίναξε. Καὶ ὃς διατεθεὶς κακῶς ἔφη, Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γάρ, τοῦ πατρός με μαγειρικὴν τέχνην διδάξαντος, αὐτὸς ἰατρικῆς ἐπελαβόμην;

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ μηδὲν προσήκουσιν ἐπιχειροῦντες εἰκότως δυστυχοῦσι.

CLXXXIV. *Ὄνος καὶ Ἀλώπηξ.* (N. 113. Fl. 141.)

Ὄνος ἐνδυσάμενος λέοντος δέρμα περιῄει ἐκφοβῶν τὰ ἄλογα ζῶα. Καὶ δὴ θεασάμενος ἀλώπεκα ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. Ἡ δὲ, ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα, ἔφη πρὸς αὐτὸν, Ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

Οὕτως ἔνιοι τῶν ἀπαιδεύτων, τοῖς ἔξωθεν τύφοις δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

CLXXXV. *Ὄνος καὶ Βάτραχοι.* (N. 114. Fl. 142.)

Ὄνος ξύλα βαστάζων διέβαινέ τινα λίμνην· ὀλισθήσας δὲ ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος ὠδύρετό τε καὶ ἔστενεν. Οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι ἀκούσαντες αὐτοῦ τῶν στεναγμῶν, ἔφασαν, Ὦ οὗτος, καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον ἐνταῦθα χρόνον διέτριβες, ὅσον ἡμεῖς, ὅτε πρὸς ὀλίγον πεσὼν οὕτως ὀδύρῃ;

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα ῥάθυμον ἐπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα αὐτὸς τοὺς πλείονας ῥᾳδίως ὑφιστάμενος.

CLXXXVI. *Ὄνος καὶ Λύκος.* (N. 115. Fl. 143.)

Ὄνος ἡλκωμένος τὸν νῶτον ἐπί τινι λειμῶνι ἐνέ-

μετο· κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ καὶ τὸ ἕλκος κρούοντος, ὁ ὄνος ἀλγῶν ὠγκᾶτο καὶ ἐσκίρτα. Τοῦ δὲ ὀνηλάτου πόῤῥωθεν σταντος καὶ γελῶντος, λύκος παριὼν ἐθεάσατο, καὶ πρὸς αὐτὸν ἔφη, Ἄθλιοι ἡμεῖς, εἰ, κἂν αὐτῷ μόνον ὀφθῶμεν, διωκόμεθα· τούτῳ δὲ καὶ προσγελῶσιν.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων καὶ ἐξ ἀπροόπτου δῆλοί εἰσιν.

CLXXXVII. Ὄνος καὶ Ἀλώπηξ καὶ Λέων. (N. 116. Fl. 144.)

Ὄνος καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους ἐξῆλθον εἰς ἄγραν· λέοντος δ' αὐτοῖς περιτυχόντος, ἡ ἀλώπηξ ὁρῶσα τὸν ἐπηρτημένον κίνδυνον, προσελθοῦσα τῷ λέοντι ὑπέσχετο παραδώσειν αὐτῷ τὸν ὄνον, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγέλληται. Τοῦ δὲ ἀπολύσειν αὐτὴν φήσαντος, παραγαγοῦσα τὸν ὄνον εἴς τινα πάγην ἐμπεσεῖν παρεσκεύασε. Καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον, πρῶτον τὴν ἀλώπεκα συνέσχεν, εἶθ' οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη.

Οὕτως οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ ἑαυτοὺς ἀπολλύντες.

CLXXXVIII. Ὄρνις καὶ Χελιδών. (N. 117. Fl. 145. Synt. 57.)

Ὄρνις ὄφεως ᾠὰ εὑροῦσα ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. Χελιδὼν δὲ θεασαμένη αὐτὴν

ἔφη, Ὦ ματαία, τί ταῦτα ἀνατρέφεις, ἅπερ ἂν αὐξηθῇ, ἀπὸ σοῦ πρῶτον τὸ ἀδικεῖν ἄρξεται;

Οὕτως ἀτιθάσσευτός ἐστιν ἡ πονηρία, κᾂν τὰ μάλιστα εὐεργετῆται.

CLXXXIX. Ὀρνιθοθήρας καὶ Κορυδαλός. (N. 46. Fl. 146.)

Ὀρνιθοθήρας πτηνοῖς πάγην ἵστα· κόρυδος δὲ αὐτὸν θεασάμενος ἠρώτα, τί ποιεῖ. Τοῦ δὲ εἰπόντος, πόλιν κτίζειν, καὶ μικρὸν ὑποχωρήσαντος, πεισθεὶς τοῖς δόλοις προσῆλθεν· ἐσθίων δὲ τὸ δέλεαρ ἔλαθεν ἐμπεσὼν εἰς τοὺς βρόχους. Τοῦ δὲ ὀρνιθοθήρου προσδραμόντος καὶ συλλαβόντος αὐτὸν, ὁ κόρυδος ἔφη, Ἐὰν τοιαύτας πόλεις κτίζῃς, οὐ πολλοὺς τοὺς ἐνοικοῦντας εὑρήσεις.

Ὁ λόγος δηλοῖ, ὅτι τότε μάλιστα καὶ οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπὰ ποιῶσι.

CXC. Γεωργὸς καὶ Πελαργός. (N. 175. Fl. 76. et 147. Cor. p. 106. et 360.)

Ὀρνιθοθήρας δίκτυα γεράνοις ἀναπετάσας πόῤῥωθεν ἐθεώρει τὴν ἄγραν. Πελαργοῦ δὲ σὺν τοῖς γεράνοις καθίσαντος, ἐπιδραμὼν μετ᾽ ἐκείνων καὶ αὐτὸν συνέλαβε. Τοῦ δὲ δεομένου, μὴ θῦσαι αὐτὸν, καὶ λέγοντος, ὡς οὐ μόνον ἀβλαβὴς τοῖς ἀνθρώποις ἐστὶν, ἀλλὰ καὶ ὠφελιμώτατος· τοὺς γὰρ ὄφεις καὶ τὰ λοιπὰ ἑρπετὰ συλλαμβάνων ἀν-

αιρεῖ, ὁ ὀρνιθοθήρας ἔφη, Ἀλλὰ [εἰ καὶ] μάλιστα οὐ φαῦλος ὑπάρχεις, καὶ διὰ τοῦτο κολάσεως ἄξιος, ἐπειδὴ μετὰ πονηρῶν κεκάθικας.

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τὰς τῶν πονηρῶν συνηθείας ἀποφεύγειν, ἵνα μὴ καὶ αὐτοὶ τῆς αὐτῶν κακίας κοινωνοὶ δόξωμεν.

CXCI. *Κάμηλος.* (N. 118. Fl. 148.)

Ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες καὶ τὸ μέγεθος καταπλαγέντες ἔφευγον. Ὡς δὲ χρόνου προϊόντος συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάῤῥησαν μέχρι τοῦ προσελθεῖν. Αἰσθόμενοι δὲ κατὰ μικρὸν, τὸ ζῶον ὡς χολὴν οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥστε καὶ χαλινοὺς αὐτῇ περιθέντες παισὶν ἐλαύνειν δεδώκασι.

Ὁ λόγος δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια μεγάλως καταπραΰνει.

CXCII. *Ὄφις καὶ Καρκῖνος.* (N. 70. Fl. 231.)

Ὄφις καὶ καρκῖνος ἐν ταὐτῷ διέτριβον· καὶ ὁ μὲν καρκῖνος ἁπλῶς τῷ ὄφει [καὶ] εὐνοϊκῶς προσεφέρετο, ὁ δὲ ὄφις ἀεὶ ὕπουλός τε καὶ πονηρὸς ἦν. Τοῦ δὲ καρκίνου συνεχῶς αὐτῷ παραινοῦντος ἐξαπλοῦσθαι τὰ πρὸς αὐτὸν κατὰ τὴν αὐτοῦ διάθεσιν ὑποκείμενον, ἐκεῖνος οὐκ ἐπείθετο. Διόπερ ὁ καρκῖνος ἀγανακτήσας, παρατηρησάμενος αὐτὸν κοιμώμενον, τοῦ φάρυγγος ἐπιλαβόμενος [τῇ χηλῇ καὶ πιέσας φονεύει. Ὡς

δ] εἶδεν αὐτὸν ἐκτεταμένον [καὶ] ἔφη, Ὦ οὗτος, οὐ νῦν σε ἐχρῆν ἁπλοῦν εἶναι, ὅτε τέθνηκας, ἀλλ' ὅτε σοὶ παρῄνουν καὶ οὐκ ἐπήκουες.

Οὗτος ὁ λόγος εἰκότως ἂν λέγοιτο ἐπ' ἐκείνων τῶν ἀνθρώπων, οἳ παρὰ τὸν ἑαυτῶν βίον εἰς τοὺς φίλους πονηρευόμενοι μετὰ θάνατον εὐεργεσίας κατατίθενται.

CXCIII. Ὄφις, Γαλῆ καὶ Μῦες. (N. 265.)

Ὄφις καὶ γαλῆ ἔν τινι οἰκίᾳ ἐμάχοντο· οἱ δὲ ἐνταῦθα μῦες ἀεὶ καταναλισκόμενοι ὑπ' ἀμφοτέρων ὡς ἐθεάσαντο [αὐτοὺς μαχομένους, ἐξῆλθον βαδίζοντες. Οἱ δὲ ἰδόντες] τοὺς μῦας, [τότε] ἀφέντες τὴν πρὸς ἑαυτοὺς μάχην ἐπ' ἐκείνους ἐτράπησαν.

Οὕτω καὶ ἐπὶ τῶν πόλεων οἱ ἐν ταῖς δημαγωγῶν στάσεσιν ἑαυτοὺς περισκύλλοντες λανθάνουσιν ἑαυτοὺς ἑκατέρων παρανάλωμα γενόμενοι.

CXCIV. Ὄφις καὶ Ζεύς. (N. 119. Synt. 18. Fl. 149.)

Ὄφις ὑπὸ πολλῶν πατούμενος ἀνθρώπων τῷ Διῒ ἐνετύγχανε περὶ τούτου. Ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν, Ἀλλ' εἰ τὸν πρότερον πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ τοῖς πρώτοις ἐπιβαίνοντες τοῖς ἄλλοις φοβεροὶ γίνονται.

CXCV. *Παῖς ἀκρίδας θηρεύων.* (N. 267. Fl. 158. et 171. Synt. 39. Cor. 263.)

Παῖς πρὸ τείχους ἀκρίδας ἐθήρευε· πολλὰς δὲ συλλαβὼν ὡς ἐθεάσατο σκορπίον, νομίσας ἀκρίδα εἶναι, κοιλάνας αὐτοῦ τὴν χεῖρα, οἷός τε ἦν καταφέρειν αὐτοῦ. Καὶ ὡς τὸ κέντρον ἔπληξεν, εἶπεν, Ἐθέλων τοῦτο ἐποίησας, ἵνα καὶ, ἃς κατέχω ταῖς ἀφαῖς ἀκρίδας, ἀποβάλλῃς.

Οὗτος ὁ λόγος ἡμᾶς διδάσκει, μὴ δεῖν πᾶσι τε χρηστοῖς καὶ πονηροῖς προσφέρεσθαι.

CXCVI. *Παῖς κλέπτης καὶ Μήτηρ.* (N. 48. Fl. 159.)

Παῖς ἐκ διδασκάλου τὴν τοῦ συμφοιτητοῦ δέλτον ἀνελόμενος τῇ μητρὶ ἐκόμισε· τῆς δὲ οὐ μόνον αὐτὸν οὐκ ἐπιπληξάσης, ἀλλὰ καὶ ἐπαινεσάσης αὐτὸν, ἐκ δευτέρου ἱμάτιον κλέψας ἤνεγκεν αὐτῇ, καὶ ἔτι μᾶλλον ἐκείνη ἀπεδέξατο. Προϊὼν δὲ τοῖς χρόνοις ὁ νεανίας ἐπὶ τὰ μείζονα ἐχώρει· ληφθεὶς δέ ποτε καὶ περιαγκωνισθεὶς ἐπὶ τὸν δήμιον ἀπήγετο. Τῆς δὲ μητρὸς ἐπακολουθούσης αὐτῷ καὶ στερνοπονουμένης, ὁ νεανίας εἶπεν, Θέλω τι εἰπεῖν τῇ μητρί μου εἰς τὸ οὖς· τῆς δὲ προσελθούσης, ταχέως ἐπελάβετο τοῦ ὠτὸς αὐτῆς, καὶ ἐξέκοψε. Τῆς δὲ κατηγορούσης αὐτὸν

ὡς δυσσεβῆ, ἐκεῖνος ἔφη, Ἀλλὰ τότε, ὅτε σοὶ πρῶτον μὲν δέλτον κλέψας ἤνεγκα, εἰ ἔπληξάς με, οὐκ ἂν μέχρι τούτου ἐχώρησα, καὶ ἐπὶ θάνατον ἠγόμην.

Ὁ λόγος δηλοῖ, ὅτι τὸ κατ' ἀρχὰς μὴ κωλυόμενον ἐπὶ μεῖζον αὔξει.

CXCVII. *Περιστερὰ διψῶσα.* (N. 120. Synt. 8. Fl. 160.)

Περιστερὰ δίψει συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι πίνακι κρατῆρα ὕδατος γεγραμμένον, ὑπέλαβεν ἀληθινὸν εἶναι· διόπερ πολλῷ ῥοίζῳ ἐνεχθεῖσα ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐμπεσοῦσα καὶ ἐντινάξασα. Συνέβη [οὖν] αὐτῇ, τῶν πτερῶν περικλασθέντων, ἐπὶ τὴν γῆν καταπεσοῦσαν ὑπό τινος τῶν παρατυχόντων καταληφθῆναι.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ σφοδρὰς ἐπιθυμίας ἀπερισκέπτως τοῖς πράγμασιν ἐπιχειροῦντες ἑαυτοὺς εἰς ὄλεθρον βάλλουσι.

CXCVIII. *Περιστερὰ καὶ Κορώνη.* (N. 121. Fl. 161.)

Περιστερὰ ἔν τινι περιστερῶνι τρεφομένη ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. Κορώνη δὲ αὐτῆς ἀκούσασα ἔφη, Ἀλλ', ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ ἀλαζονευομένη· ὅσον γὰρ ἂν πλείονα ποιῇς, τοσοῦτον περιττοτέρας λύπας συνάγεις.

Οὕτω καὶ τῶν οἰκετῶν δυστυχεῖς εἰσιν, ὅσοι ἐν τῇ δουλείᾳ τέκνα ποιοῦσι πολλά.

CXCIX. *Πίθηκος καὶ Ἁλιεῖς.* (Hudson Haupt. p. 246. Fl. 162.)

Πίθηκος ἐπί τινος ὑψηλοῦ δένδρου καθήμενος, ὡς ἐθεάσατο ἁλιεῖς ἔν τινι ποταμῷ σαγήνην βάλλοντας, παρετήρει τὰ ὑπ᾽ αὐτῶν πραττόμενα· ὡς δὲ ἐκεῖνοι τὴν σαγήνην ἀνασπάσαντες μικρὸν ἄποθεν ἠρίστουν, ὁ πίθηκος καταβὰς ἐπειρᾶτο καὶ αὐτὸς τὰ αὐτὰ πράττειν· φασὶ γὰρ μιμητικὸν ζῶον εἶναι τοῦτο. Ἐφαψάμενος δὲ τῶν δικτύων ὡς συνελήφθη, ἔφη πρὸς ἑαυτὸν, Ἀλλ᾽ ἔγωγε δίκαια πέπονθα· τί γὰρ ἁλιεύειν μὴ μαθὼν τούτῳ ἐπεχείρουν;

CC. *Πλούσιος καὶ Βυρσοδέψης.* (N. 273. Huds. Haupt. p. 320.)

Πλούσιος βυρσοδέψῃ παρακείμενος, μὴ δυνάμενος τὴν δυσωδίαν φέρειν, ἐπέκειτο αὐτῷ, ἵνα μεταβῇ. Ὁ δὲ ἀνεβάλλετο λέγων [μετ᾽ ὀλίγον] χρόνον μεταβήσεσθαι. Τούτου δὲ συνεχῶς γενομένου, συνέβη τὸν πλούσιον ἐν συνηθείᾳ τῆς ὀσμῆς τούτου γενόμενον, μηκέτι αὐτῷ διενοχλεῖν.

Ὁ λόγος δηλοῖ, ὅτι ἡ συνήθεια καὶ τὰ δυσχερῆ τῶν πραγμάτων καταπραΰνει.

CCI. *Πλούσιος καὶ Θρηνῳδοί.* (N. 122. Fl. 165.)

Πλούσιος δύο θυγατέρας ἔχων, τῆς μιᾶς ἀποθανούσης, θρηνούσας ἐμισθώσατο. Τῆς δὲ ἑτέρας παιδὸς λαλούσης, Ὡς ἄθλιαι, εἴγε αὐταὶ ὧν ἐστι τὸ πάθος, θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μακρὰν προσήκουσαι οὕτω σφοδρῶς κόπτονται καὶ κλαίουσιν, ἡ μήτηρ ἔφη, Μὴ θαύμαζε, τέκνον, εἰ αὗται οὕτως θρηνοῦσιν· ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

CCII. *Ποιμὴν καὶ Κύων.* (N. 275. Huds. Haupt. p. 217.)

Ποιμὴν ἔχων κύνα παμμεγέθη τούτῳ εἰώθει τὰ ἔμβρυα καὶ τὰ ἀποθνήσκοντα τῶν προβάτων παραβάλλειν. Καὶ δή ποτε εἰσελθούσης τῆς ποίμνης, ὁ ποιμὴν θεασάμενος τὸν κύνα προσιόντα τοῖς προβάτοις καὶ σαίνοντα αὐτὰ, εἶπεν, Ἀλλ', ὦ οὗτος, ὃ θέλεις σὺ τούτοις, ἐπὶ τῇ σῇ κεφαλῇ γένοιτο.

Ὁ λόγος εὔκαιρός ἐστι πρὸς ἄνδρα κόλακα.

CCIII. *Ποιμὴν καὶ Θάλασσα.* (N. 49. Fl. 164.)

Ποιμὴν ἔν τινι παραθαλασσίῳ νέμων, ὡς ἐ-

ϑεάσατο τὴν ϑάλασσαν γαληνήν τε καὶ πρασῖαν, ἐπεϑύμησε πλεῖν· διόπερ πωλήσας αὐτοῦ τὰ πρόβατα καὶ φοίνικας ἀγοράσας καὶ ναῦν ἐμφορτισάμενος ἀνήχϑη. Χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νηὸς περιτραπείσης, πάντα ἀπολέσας μόλις ἐπὶ τὴν γῆν διενήξατο. Πάλιν δὲ γαλήνης γενομένης, ὡς ἐϑεάσατό τινα ἐπὶ τῆς γῆς ἐπαινοῦντα τὴν τῆς ϑαλάσσης ἠρεμίαν, ἔφη, Ἀλλ', ὦ οὗτος, αὕτη γάρ σοι φοινίκων ἐπιϑυμεῖ.

Οὕτω πολλάκις τὰ παϑήματα τοῖς φρονίμοις γίνονται μαϑήματα.

CCIV. *Ποιμὴν καὶ Πρόβατα.* (N. 123. Fl. 165.)

Ποιμὴν ἐλάσας τὰ πρόβατα εἴς τινα δρυμῶνα, ὡς ἐϑεάσατο δρῦν παμμεγέϑη, μεστὴν βαλάνων, ὑποστρώσας τὸ ἱμάτιον, ἐπ' αὐτὴν ἀνέβη, καὶ τὸν καρπὸν ἀντέσειε. Τὰ δὲ πρόβατα ἐσϑίοντα τὰς βαλάνους ἔλαϑον καὶ τὰ ἱμάτια συγκαταφαγεῖν. Ὁ δὲ ποιμὴν καταβὰς, ὡς ἐϑεάσατο τὸ γεγονὸς, εἶπεν, Ὦ κάκιστα ζῶα, ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσϑῆτα παρέχετε, ἐμοῦ δὲ τοῦ τρέφοντος ὑμᾶς καὶ τὸ ἱμάτιον ἀφείλεσϑε.

Οὕτω καὶ τῶν ἀνϑρώπων πολλοὶ δι' ἄγνοιαν τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

CCV. *Ποιμὴν καὶ Λυκιδεῖς.* (N. 276.)

Ποιμὴν εὑρὼν λυκίδια ταῦτα μετὰ πολλῆς ἐπιμελείας ἔτρεφεν, οἰόμενος ὅτι, εἰ ταῦτα θρέψει, οὐ μόνον τὰ ἑαυτοῦ πρόβατα φυλάξουσιν, ἀλλὰ καὶ τὰ ἑτέρων ἁρπάζοντες αὐτῷ οἴσουσιν. Οἱ δὲ, ὡς τάχιστα ἐτράφησαν, ἀδείας τυχόντες πρῶτον αὐτοῦ τὴν ποίμνην διέφθειραν. Κἀὶ ὃς ἀναστενάξας εἶπεν, Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ τούτους νηπίους ὄντας ἔτρεφον, οὓς ἔδει καὶ ηὐξημένους ἀναιρεῖν;

Οὕτως οἱ τοὺς πονηροὺς περισώζοντες λανθάνουσι καθ' αὐτῶν πρῶτον αὐτοὺς ῥωννῦντες.

CCVI. *Ποιμὴν παίζων.* (N. 270. Fl. 166.)

Ποιμὴν ἐξελαύνων αὐτοῦ τὴν ποίμνην ἀπό τινος κώμης ποῤῥωτέρω, διετέλει τοιαύτῃ παιδιᾷ χρώμενος. Ἐπιβοώμενος γὰρ τοὺς κωμήτας ἐπὶ βοήθειαν, ἔλεγεν ὡς λύκοι τοῖς προβάτοις ἐπῆλθον. Δὶς καὶ τρὶς τῶν ἐκ τῆς κώμης ἐκπλαγέντων καὶ ἐκπηδησάντων, εἶτα διὰ γέλωτος ἀπαλλαγέντων, συνέβη τὸ τελευταῖον ταῖς ἀληθείαις λύκους ἐπελθεῖν. Ἀποτεμνομένης δὲ αὐτοῦ τῆς ποίμνης, καὶ αὐτοῦ ἐπὶ βοήθειαν βοῶντος, ἐκεῖνοι ὑπολαβόντες αὐτὸν παίζειν κατὰ τὸ ἔθος, οὐδὲν ἐφρόντισαν· καὶ οὕτως αὐτοῦ συνέβη ἀπολέσθαι τὰ πρόβατα.

Ὁ λόγος δηλοῖ, ὅτι τοῦτο κερδαίνουσιν οἱ ψευδόμενοι τὸ μηδ' ὅταν ἀληθεύωνται πιστεύεσθαι ὑπό τινος.

CCVII. *Παῖς λουόμενος.* (Huds. Hauptm. p. 311. Fl. 167.)

Παῖς ποτε λουόμενος ἔν τινι ποταμῷ ἐκινδύνευσεν ἀποπνιγῆναι· ἰδὼν δὲ ὁδοιπόρον, τοῦτον ἐπὶ βοήθειαν ἐφώνει· ὁ δὲ ἐμέμφετο τὸν παῖδα ὡς τολμηρόν· τὸ δὲ μειράκιον εἶπε πρὸς αὐτὸν, Ἀλλὰ νῦν βοήθει, ὕστερον δὲ σωθέντι μοι μέμφου.

Ὁ λόγος εἴρηται πρὸς τοὺς ἀφορμὰς καθ' ἑαυτῶν διδόντας ἀδικεῖσθαι.

CCVIII. *Πρόβατον κειρόμενον.* (N. 293. Fl. 168.)

Πρόβατον ἀφυῶς κειρόμενον πρὸς τοὺς κείροντας ἔφη, Εἰ μὲν ἔρια ζητεῖς, ἀνωτέρω τέμνετε· εἰ δὲ κρέως ἐπιθυμεῖτε, ἅπαξ με καταθύσατε, τοῦ κατὰ μικρὸν βασανίζειν ἀπαλλάξαντες.

Πρὸς τοὺς ἀφυῶς ταῖς τέχναις προσφερομένους ὁ λόγος εὔκαιρος.

CCIX. *Ῥοιὰ, Μηλέα καὶ Βάτος.* (N. 50. Fl. 176.)

Ῥοιὰ καὶ μηλέα περὶ εὐκαρπίας ἤριζον· πολλοῦ δὲ τοῦ νείκους ἀναφθέντος, βάτος ἐκ τοῦ πλησίον φραγμοῦ ἀκούσασα εἶπεν, Ἀλλ', ὦ φίλαι, παυσώμεθά ποτε μαχόμεναι.

Οὕτω περὶ τὰς τῶν ἀμεινόνων στάσεις καὶ οἱ μηδενὸς ἄξιοι πειρῶταί τινες εἶναι.

CCX. Σπάλαξ. (N. 51. Fl. 177.)

Σπάλαξ, ἔστι δὲ τοῦτο τὸ ζῶον τυφλὸν, λέγει τῇ μητρὶ αὐτοῦ, ὅτι βλέπω· κἀκείνη πειράζουσα αὐτὸν χόνδρον λιβανωτοῦ δοῦσα αὐτῷ ἐπηρώτα, τί τοῦτο εἴη. Τοῦ δὲ εἰπόντος ψηφῖδα, ἡ μήτηρ εἶπεν, Ὦ τέκνον, οὐ μόνον τοῦ βλέπειν ἐστέρησαι, ἀλλὰ καὶ τὰς ὀσφρήσεις ἀπώλεσας.

Οὕτως ἔνιοι τῶν ἀλαζόνων μέχρις οὗ τὰ ἀδύνατα κατεπαγγέλλονται, καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

CCXI. Σφῆκες καὶ Πέρδικες. (N. 52. Fl. 178.)

Σφῆκές ποτε καὶ πέρδικες δίψει συνεχόμενοι ἧκον πρὸς γεωργὸν, καὶ παρὰ τούτου ποτὸν ᾔτουν, ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος οἱ μὲν πέρδικες περισκάψειν τὰς ἀμπέλους καὶ τοὺς βότρυς εὐπρεπεῖς ποιήσειν· οἱ δὲ σφῆκες περιστάντες τοῖς κέντροις τοὺς κλέπτας ἀπώσεσθαι. Κἀκεῖνος ὑποτυχὼν ἔφη, Ἀλλ' ἔμοιγε εἰσὶ δύο βόες, οἵτινες μηδὲν κατεπαγγελλόμενοι πάντα ποιοῦσιν· οἷς ἄμεινόν ἐστιν ἢ ὑμῖν τὸ ποτὸν παρασχεῖν.

Οὗτος ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ἀχάριστον.

CCXII. Σφὴξ καὶ Ὄφις. (N. 280. Fl. 179.)

Σφὴξ ἐπὶ κεφαλὴν ὄφεως καθίσας καὶ συνεχῶς τῷ κέντρῳ πλήττων ἐχείμαζε· ὁ δὲ περιώδυνος γενόμενος καὶ τὸν ἐχθρὸν οὐκ ἔχων ἀμύνασθαι,

τὴν κεφαλὴν ἁμάξης τροχῷ ὑπέθηκε, καὶ ουτω τῷ σφηκὶ συναπέθανεν.

Ὁ λόγος δηλοῖ, ὅτι τινὲς τοῖς ἐχθροῖς αἱροῦνται συναποθνήσκειν.

CCXIII. *Δένδρα καὶ Κάλαμοι.* (Fl. 180.)

Τὰ δένδρα ποτὲ κατεασσόμενα ὑπὸ τῶν ἀνέμων, ὡς ἑώρων τοὺς καλάμους ἀσινεῖς διαμένοντας, ἐπυνθάνοντο αὐτῶν, πῶς καὶ τίνι τρόπῳ αὐτὰ μὲν, ἰσχυρὰ καὶ ἐμβριθῆ ὄντα, οὕτως κατακλᾶται, οἱ δὲ, λεπτοὶ καὶ ἀσθενεῖς ὄντες, οὐδὲν πάσχουσι. Κἀκεῖνοι ἔφασαν, ὅτι ἡμεῖς συνιδόντες ἑαυτοῖς ἀσθένειαν εἴκομεν τῇ τῶν ἀνέμων προσβολῇ, καὶ τὰς ὁρμὰς ἐκκλίνομεν, ὑμεῖς δὲ, πεποιθότες τῇ ἰδίᾳ δυνάμει, ἀντιστῆναι πειρᾶσθε, καὶ διὰ τοῦτο κατεάσσεσθε.

Ὁ λόγος δηλοῖ, ὅτι πρὸς τὰ ἀσφαλῆ τῶν πραγμάτων τὸ εἴκειν τοῦ ἀντιτάσσεσθαι ἀσφαλέστερόν ἐστι.

CCXIV. *Ταῦρος καὶ Τράγος.* (N. 281. Fl. 181. Synt. 30.)

Ταῦρος διωκόμενος ὑπὸ λέοντος κατέφυγεν εἰς σπήλαιον, ἐν ᾧ ἦσαν αἶγες ἄγριαι· τυπτόμενος δὲ ὑπ' αὐτῶν ὁ ταῦρος καὶ κερατιζόμενος ἔφη, Οὐχ ὑμᾶς φοβούμενος ἀνέχομαι, ἀλλὰ τὸν πρὸ τοῦ σπηλαίου ἑστῶτα.

Οὕτω πολλοὶ διὰ φόβον τῶν κρειττόνων ὕβρεις ὑπομένουσιν.

CCXV. *Πιθήκου παῖδες.* (N. 271. Fl. 182.)

Τοὺς πιθήκους φασὶ δύο τίκτειν, καὶ τὸ μὲν τῶν γεννημάτων στέργειν καὶ μετ' ἐπιμελείας τρέφειν, τὸ δὲ ἕτερον μισεῖν καὶ ἀμελεῖν. Συμβαίνει δὲ κατά τινα θείαν τύχην, τὸ μὲν ἐπιμελούμενον ἀποθνήσκειν, τὸ δὲ ὀλιγωρούμενον ἀναθάλλειν.

Ὁ λόγος δηλοῖ, ὅτι πάσης προνοίας ἡ τύχη δυνατωτέρα καθέστηκε.

CCXVI. *Ταὼν καὶ Κολοιός.* (N. 53. Fl. 183. Synt. 53.)

Τῶν ὀρνέων βουλευσαμένων περὶ βασιλείας, ταὼν ἠξίου χειροτονῆσαι [ἑαυτὸν] βασιλέα διὰ τὸ κάλλος· ὁρμωμένων δὲ ἐπὶ τοῦτο τῶν ὀρνέων, κολοιὸς εἶπεν, Ἀλλ' ἐὰν σοῦ βασιλεύοντος ὁ ἀετὸς ἡμᾶς διώκῃ, πῶς ἡμῖν ἐπαρκέσεις;

CCXVII. *Κάμηλος, Ἐλέφας καὶ Πίθηκος.* (N. 199.)

Τῶν ἀλόγων ζώων βουλευομένων βασιλέα ἑλέσθαι, κάμηλος καὶ ἐλέφας καταστάντες ἐφιλονείκουν, καὶ διὰ τὸ μέγεθος τοῦ σώματος καὶ διὰ τὴν ἰσχὺν ἐλπίζοντες πάντων προκρίνεσθαι. Πίθηκος δὲ ἀμφοτέρους ἀνεπιτηδείους εἶναι ἔφη, τὴν μὲν κάμηλον, διότι χολὴν οὐκ ἔχει κατὰ τῶν ἀδικούντων, τὸν δὲ ἐλέφαντα, ὅτι δέος ἐστὶ, μὴ χοιρίδιον, ὃ δέδοικεν, ἡμῖν ἐπιτίθηται.

Ὁ λόγος δηλοῖ, ὅτι πολλοὶ καὶ τῶν μεγίστων πραγμάτων διὰ μικρὰν αἰτίαν κωλύονται.

CCXVIII. Ζεὺς καὶ Ὄφις. (N. 192. Fl. 184.)

Τοῦ Διὸς γαμοῦντος πάντα τὰ ζῶα ἀνήνεγκαν δῶρα. Ὄφις δὲ ἕρπων ῥόδον ἀναλαβὼν τῷ στόματι ἀνέβη. Ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς ἔφη, Τῶν ἄλλων ἁπάντων καὶ ἐκποδὼν δῶρα δέχομαι, ἀπὸ δὲ σοῦ τοῦ στόματος οὐ λαμβάνω.

Ὁ λόγος δηλοῖ, ὅτι πάντων τῶν πονηρῶν αἱ χάριτες φοβεραί.

CCXIX. Ταὼν καὶ Γέρανος. (Tyrwh. p. 7. Fl. 376.)

Ταὼν γεράνου κατεγέλα, κωμῳδῶν τὴν χροιὰν αὐτοῦ καὶ λέγων, ὡς Ἐγὼ μὲν χρυσὸν καὶ πορφύραν ἐνδέδυμαι, σὺ δὲ οὐδὲν καλὸν φέρεις ἐν πτεροῖς. Ὁ δὲ, Ἀλλ᾽ ἐγὼ, ἔφη, τῶν ἀστέρων ἔγγιστα φωνῶ, καὶ εἰς τὰ οὐράνια ὕψη ἵπταμαι· σὺ δὲ, ὡς ἀλέκτωρ, κάτω μετ᾽ ὀρνίθων βαίνεις.

Ὅτι κρεῖττον περίβλεπτον εἶναί τινα [ἐν] πενιχρᾷ ἐσθῆτι ἢ ζῆν ἀδόξως ἐν πλούτῳ γαυρούμενον.

CCXX. Ὗς καὶ Κύων. (N. 68.)

Ὗς καὶ κύων πρὸς ἀλλήλους διεφέροντο· τῆς δὲ ὑὸς ὀμνυούσης τὴν Ἀφροδίτην, ἐὰν μὴ παύσηται, τοῖς ὀδοῦσιν ἀνατέμνειν, ἡ κύων ἔλεγε, καὶ κατ αὐτὸ τοῦτο ἀγνωμονεῖν, εἴγε Ἀφροδίτη μισεῖ, ὥστε

ἐὰν φάγῃ τὶς κρέας ὑὸς, τοῦτον οὐκ ἐᾷ εἰς τὸ ἱερὸν αὐτῆς εἰσιέναι. Καὶ ἡ ὗς ὑποτυχοῦσα ἔφη, ὅτι τοῦτο οὐ στυγοῦσα ποιεῖ, ἀλλὰ προνοουμένη, ἵνα μή τίς με θύσῃ.

Οὕτως οἱ φρόνιμοι τῶν ῥητόρων πολλάκις τὰ ὑπὸ τῶν ἐχθρῶν φερόμενα ὀνείδη [εἰς] ἐπαίνους μετασχηματίζουσιν.

CCXXI. Ὗς καὶ Κύων. (N. 69. Heus. p. 59. Fl. 186.)

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον· τῆς δὲ κυνὸς εἰπούσης, ὅτι μόνη τῶν τετραπόδων ταχέως κύει, ἡ ὗς ὑποτυχοῦσα ἔφη, Ἀλλ' ὅταν τοῦτο λέγῃς, γίνωσκε, ὅτι τυφλὰ τίκτεις.

Ὁ λόγος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα ἀλλὰ ἐν τῇ τελειότητι γίνονται.

CCXXII. Ὗς ἄγριος καὶ Ἀλώπηξ. (N. 54. Fl. 185.)

Ὗς ἄγριος ἑστὼς παρά τι δένδρον τοὺς ὀδόντας ἠκόνα· ἀλώπεκος δὲ αὐτὸν ἐρωτώσης τὴν αἰτίαν, διὰ τί μήτε κυνηγοῦ μήτε κινδύνου ἐνεστῶτος τοὺς ὀδόντας θήγει; ἔφη, Ἀλλ' οὐ ματαίως τοῦτο ποιῶ· ἐὰν γάρ με κίνδυνος καταλάβῃ, οὐ τότε περὶ τὸ ἀκονᾷν ἀσχολήσομαι, ἑτοίμοις δὲ οὖσι χρήσομαι.

Ὁ λόγος διδάσκει, ὅτι δεῖ πρὸ τῶν κινδύνων τὰς παρασκευὰς ποιεῖσθαι.

CCXXIII. Φιλάργυρος. (N. 59. Fl. 188.)

Φιλάργυρός τις τὴν οὐσίαν ἐξαργυρωσάμενος βῶλον χρυσοῦν ὠνήσατο, καὶ τοῦτον πρὸ τοῦ τείχους κατορύξας διετέλει συνεχῶς ἐρχόμενος καὶ ἐπισκεπτόμενος. Τοῦτον δὲ περὶ τὸν τόπον τὶς τῶν ἐργατῶν πολλάκις βλέπων παρατηρησάμενός τε αὐτοῦ τὰς ἀφίξεις καὶ καταλαβὼν αὐτοῦ τὸν χρυσὸν ἀφείλατο. Ὁ δὲ ἐπανελθὼν καὶ κενὸν εὑρὼν τὸν τόπον ἔκλαιέ τε καὶ τὰς τρίχας ἔτιλλεν. Ἰδὼν δέ τις αὐτὸν καὶ καταμαθὼν τὴν αἰτίαν, ἔφη πρὸς αὐτὸν, Μὴ λυποῦ, ἑταῖρε, ἀλλὰ λαβὼν λίθον κατάθες ἐν τῷ αὐτῷ τόπῳ καὶ νόμιζε τὸ χρυσίον κεῖσθαι· οὐδὲν γὰρ, ὅτε ἦν, ἐχρῶ αὐτῷ.

Ὁ λόγος δηλοῖ, ὅτι ἡ κτῆσις οὐδέν ἐστιν, ἐὰν μὴ ἡ χρῆσις παρῇ.

CCXXIV. Χελώνη καὶ Λαγωός. (N. 292. Flor. 173. Cor. 287.)

Χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον· καὶ δὴ προθεσμίαν στήσαντες καὶ τόπον ἀπηλλάγησαν. Ὁ μὲν οὖν λαγωὸς διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου, πεσὼν παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο, ἡ δὲ χελώνη συνειδυῖα ἑαυτῇ τὴν βραδύτητα, οὐ διέλιπε τρέχουσα, καὶ οὕτω κοιμώμενον τὸν λαγωὸν παραδραμοῦσα εἰς τὸ βραβεῖον τῆς νίκης ἀφίκετο.

Ὁ λόγος δηλοῖ, ὅτι πολλάκις φύσιν ἀμελοῦσαν ὁ πόνος ἐνίκησε.

CCXXV. *Χελιδὼν καὶ Ὄφις.* (N. 291. Fl. 190.)

Χελιδὼν ἔν τινι δικαστηρίῳ νεοττοποιησαμένη ἐξέπτη· ὄφις δὲ προσερπύσας κατέφαγεν αὐτῆς τοὺς νεοττούς. Ἡ δὲ ἐπανελθοῦσα καὶ τὴν καλιὰν κενὴν εὑροῦσα, ὑπερπαθοῦσα ἔστενεν· ἑτέρας δὲ χελιδόνος παρηγορεῖν αὐτὴν βουλομένης, καὶ λεγούσης, Μόνον ἆρα σοὶ τὰ τέκνα ἀποβαλεῖν συμβέβηκεν; ὑποτυχοῦσα ἔφη, Ἀλλ' ἔγωγε οὐ τοσοῦτον ἐπὶ τοῖς τέκνοις κλαίω, ὅσον ὅτι ἐν τούτῳ τῷ τόπῳ ἠδίκημαι, ἐν ᾧ οἱ ἀδικούμενοι βοηθοῦνται.

Ὁ λόγος δηλοῖ, ὅτι χαλεπώτεραι γίνονται τοῖς πάσχουσιν αἱ συμφοραὶ, ὅταν οἱ κριταὶ δι' αἰσχροκέρδειαν προσωποληπτοῦσι.

CCXXVI. *Χὴν καὶ Γέρανοι.* (N. 60. Fl. 191. Synt. 60.)

Χὴν καὶ γέρανοι τὸν αὐτὸν λειμῶνα ἐνέμοντο· ἐπιφανέντων δὲ αὐτοῖς θηρευτῶν, αἱ μὲν γέρανοι ἐλαφραὶ οὖσαι ἐσώθησαν, οἱ δὲ χῆνες μείναντες διὰ τὸ βάρος τῶν σωμάτων συνελήφθησαν.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ μὲν πένητες σώζονται, οἱ δὲ πλούσιοι ἀπόλλυνται.

CCXXVII. *Ὄναγρος καὶ Λύκος.* (N. 263.)

Χωλὸς ὄναγρος ὑπὸ σκόλοπος ἐγκεντρισμένος ὀδυνηρῶς ἔφερε τὸν πόδα ἐκ τῶν ἑλκῶν· καὶ δια-

βῆναι τὸν ποταμὸν μὴ δυνάμενον λύκος ἀπαντήσας ἔμελλε κατεσθίειν, ἕτοιμον εὑρὼν εἰς θήραν. Ὁ ὄναγρος δὲ αὐτοῦ ἐδέετο λέγων, Παῦσόν με τοῦ πόνου, τὸν σκόλοπα ἐκ τοῦ ποδὸς ἑλκύσας. Τοῦ δὲ λύκου τοῖς ὀδοῦσι τὸν σκόλοπα ἐξελκύσαντος, ὁ ὄνος κουφισθεὶς τῆς τοῦ ποδὸς ἀλγηδόνος, λακτίσας τοῖς ποσὶ τοῦ λύκου τὸ στόμα, νεκρὸν ἀφῆκε· καὶ ὁ ὄνος δραμὼν διεσώθη.

Ὁ λόγος δηλοῖ, ὅτι καλὸν κακοῖς ποιήσας οὐχ ἕξεις εὐχαριστίαν, μᾶλλον δὲ λοιδορίαν.

CCXXVIII. Χελιδὼν καὶ Κορώνη. (N. 76. Fl. 192. Synt. 5.)

Χελιδὼν καὶ κορώνη περὶ κάλλους ἐφιλονείκουν· ὑποτυχοῦσα δὲ ἡ κορώνη πρὸς αὐτὸν εἶπεν, Ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ, τὸ δὲ ἐμὸν σῶμα καὶ χειμῶνι παρατείνεται.

Ὁ λόγος δηλοῖ, ὅτι ἡ τοῦ σώματος παράταξις εὐπρεπείας καλλίων.

CCXXIX. Χελώνη καὶ Ἀετός. (N. 61. Fl. 193.)

Χελώνη θεασαμένη ἀετὸν πετόμενον, ἐπεθύμησε καὶ αὐτὴ πέτεσθαι· προσελθοῦσα δὲ τοῦτον παρεκάλει, ἐφ' ᾧ βούλεται μισθῷ διδάξαι αὐτήν. Τοῦ δὲ πείθοντος καὶ λέγοντος ἀδύνατον εἶναι, καὶ ἔτι αὐτοῦ ταύτης ἐπικειμένης καὶ ἀξιούσης,

ἄρας αὐτὴν καὶ μετέωρος ἀναβὰς ἀφῆκεν ἐπί τινος πέτρας, ὅθεν κατενεχθεῖσα ἀπεῤῥάγη καὶ τέθνηκεν.

Ὅτι πολλοὶ ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακούσαντες ἑαυτοὺς ἔβλαψαν.

CCXXX. Ψύλλα καὶ Ἀθλητής. (N. 62. Fl. 194.)

Ψύλλα ποτὲ πηδήσασα ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν· ὁ δὲ τὸν Ἡρακλῆν ἐπὶ συμμαχίαν ἐκάλει. Τῆς δὲ ἐκεῖθεν αὖθις ἀφαλομένης, στενάξας εἶπεν, Ὦ Ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνισταῖς συνεργήσεις;

Ὅτι μὴ δεῖ ἐπὶ τῶν ἐλαχίστων τοῦ θείου δεῖσθαι, ἀλλ' ἐπὶ τῶν ἀναγκαίων.

CCXXXI. Ψύλλα καὶ Ἄνθρωπος. (N. 297. Fl. 196.)

Ψύλλα ποτὲ ἠνώχλει τινὶ πολλὰ, καὶ δὴ συλλαβὼν αὐτὴν, Τίς εἶ σὺ, ἐπηρώτα, ὅτι τὰ μέλη μου πάντα κατεβοσκήσω; ἡ δὲ ἔφη, Οὕτω ζῶ, μή με κτείνῃς· μέγα γὰρ κακὸν ποιῆσαι οὐ δύναμαι. [Ὁ δὲ γελάσας πρὸς αὐτὴν, Οὕτως, ἔφη, ἄρτι τεθνήξῃ χερσί μου ταῖς ἰδίαις·] ἅπαν γὰρ κακὸν, κἂν μικρὸν, κἂν μέγα, οὐδ' ὅλως χρὴ ἐᾷν φύεσθαι.

ΒΑΒΡΙΟΥ

ΜΥΘΟΙ ΑΙΣΩΠΕΙΟΙ.

I. *Γαλῆ συλληφθεῖσα.* (Flor. 355. Nilant. Ant. 29.)

Γαλῆν δόλῳ τις συλλαβών τε καὶ δήσας
ἔπνιγε βάλλων ὑδάτων ἐν ἀγγείῳ·
τῆς δ' οὖν λεγούσης, ὡς κακὴν χάριν τίνεις
ὧν ὠφέλουν, θηρῶσα μῦς τε καὶ σαύρας,
Ἐπιμαρτυρῶ σοι, φησίν· ἀλλὰ καὶ πάσας
ἔπνιγες ὄρνεις, πάντα δ' οἶκον ἠρήμους,
κρεῶν τ' ἀνέῳγες ἄγγος· ὥστε τεθνήξῃ,
βλάπτουσα μᾶλλον ἤπερ ὠφέλησας με.

II. *Λέων καὶ Ἀετός.* (Fl. 358.)

Λέοντι προσπτὰς αἰετός [ποτ'] ἐζήτει
κοινωνὸς εἶναι· χ' ὠ λέων, Τί κωλύει;
πρὸς αὐτὸν εἶπεν· ἀλλ' ἐνέχυρον δώσεις,
ταχύπτερόν σε μὴ μεθεῖναι τὴν πίστιν·
πῶς γὰρ φίλῳ σοὶ μὴ μένοντι πιστεύσω;

III. *Λύκος καὶ Ἀλώπηξ.* (Fl. 360.)

Λύκος τις ἁδρὸς ἐν λύκοις ἐγεννήθη·
λέοντα δ' αὐτόν [τις] ἐκάλει· ὁ δ' ἀγνώμων
τὴν δόξαν οὐκ ἤνεγκε· τῶν δὲ συμφύλων
ἀποστατήσας, τοῖς λέουσιν ὡμίλει.
Κερδὼ δ' ἐπισκώπτουσα, Μὴ φρενωθείην,
ἔφη, τοσοῦτον, ὡς σὺ νῦν ἐτυφώθης·
σὺ γάρ τ' ἀληθῶς ἐν λύκοις λέων φαίνῃ,
εἰς δ' αὖ λεόντων σύγκρισιν λύκος φαίνῃ.

IV. *Δηχθεὶς ὑπὸ μύρμηκος καὶ Ἑρμῆς.* (Fl. 363.)

Νεώς ποτ' αὐτοῖς ἀνδράσιν βυθισθείσης,
ἰδών τις ἀδίκως ἔλεγε τοὺς θεοὺς κρίνειν·
ἑνὸς γὰρ ἀσεβοῦς ἐμβεβηκότος πλοίῳ,
πολλοὺς σὺν αὐτῷ μηδὲν αἰτίους θνήσκειν.
καὶ ταῦθ' ὁμοῦ λέγοντος, οἷα συμβαίνει,
πολλῶν ἐπ' αὐτὸν ἑσμὸς ἦλθε μυρμήκων,
σπεύδων ἄχνας τὰς πυρίνας ἀποτρώγειν·
ὑφ' ἑνὸς δὲ δηχθεὶς συνεπάτησε τοὺς πάντας.
Ἑρμῆς δ' ἐπιστάς, τῷ τε ῥαβδίῳ παίων,
Εἶτ' οὐκ ἀνέξῃ, φησί, τοὺς θεοὺς ὑμῶν
εἶναι δικαστάς, οἷος εἶ σὺ μυρμήκων;

V. *Ὁδοιπόρος καὶ Ἀλήθεια.* (Fl. 364.)

Ὁδοιπορῶν ἄνθρωπος εἰς ἐρημίαν
μόνην ἑστῶσαν εὗρε τὴν Ἀλήθειαν,
καί φησιν αὐτῇ, Δι' ἣν αἰτίαν, γύναι,

τὴν πόλιν ἀφεῖσα τὴν ἐρημίαν ναίεις;
Ἡ δ' εὐθὺς πρὸς τάδ' εἶπεν ἡ βαθυγνώμων,
Ὅτι ποτὲ παρ' ὀλίγοισιν ἦν ψεῦδος,
νῦν δ' εἰς πάντας βροτοὺς ἐλήλυθε ψεῦδος·
εἰ δ' ἐστὶν εἰπεῖν, καὶ κλύειν βεβούλησαι·
ὁ νῦν βίος πονηρός ἐστιν ἀνθρώπων.

VI. Οἶς πρὸς νομέα καὶ Κύων. (Fl. 366.)

Ὄϊς τις εἶπε πρὸς νομῆα τοιαδε·
Κείρεις μὲν ἡμᾶς, καὶ πόκους ἔχεις κέρσας,
[τὸ] γάλα δ' ἀμέλγοντ' ἐστί σοι φίλον πῆξαι,
ἡμῶν δὲ τέκνα μῆλά σοι περισσεύει·
πλεῖν δ' οὐδὲν ἡμῖν, ἀλλὰ καὶ τροφὴ γαίας
πᾶσ' ἐν ὄρεσιν εὐθαλέσσι γεννᾶται
ὡραία βοτάνη καὶ δρόσου γεμισθεῖσα.
φέρβεις δ' αὖ κύνα ταύτην ἐν μέσοις ἡμῖν,
τρέφων, ὁποῖα σαυτὸν, εὐθαλεῖ σίτῳ.
Ταῦθ' ὡς ἤκουσεν ἡ κύων, ἔφη τοῖα·
Εἰ μὴ παρήμην, κἀν μέσοις ἐπωλούμην,
οὐκ ἄν ποθ' ὑμεῖς ἔσχετ' ἄφθονον ποιήν:
περιτρέχουσα δ' ἐγὼ πάντοθεν κώλύω
δρηστῆρα ληστὴν καὶ λύκον διωκτῆρα.

VII. Ὄνος παίζων. (Fl. 368.)

Ὄνος τις ἀναβὰς εἰς τὸ δῶμα καὶ παίζων,
τὸν κέραμον ἔθλα· καί τις αὐτὸν ἀνθρώπων
ἐπιδραμὼν κατῆγε, τῷ ξύλῳ παίων.
Ὁ δ' ὄνος πρὸς αὐτὸν, ὃς τὸν νῶτον ἤλεγχε,

Καὶ μὴν πίθηκος ἐχθὲς, εἶπε, καὶ πρώην
ἔτερπεν ὑμᾶς αὐτὸ τοῦτο ποιήσας.

VIII. *Ὄνος καὶ Κυνίδιον.* (Fl. 367.)

Ὄνον τις ἔτρεφε καὶ κύνα πάνυ ὡραῖον.
καὶ ὃς ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης
ἔτρωγε κριθὰς, χόρτον δ', ὥσπερ εἰώθει·
κυνίδιον αὖ χαρίεν ὂν, εὐρύθμως τε παῖζον,
τὸν δεσπότην τε ποικίλως περισκαῖρον,
[ἔτερπεν . . . .]
ἐκεῖνος δ' αὐτὸ κατέχων ἐν τοῖς κόλποις.
ὁ γοῦν ὄνος τὴν μὲν νύχθ' [ὅλην] ἀλήθων
πυρὸν φίλης Δήμητρος, ἡμέρας δ' ὕλην
ἦγεν ἀφ' ὕψους, ἐξ ἀγροῦ τ' ὅσων χρεία.
δηχθεὶς δὲ θυμῷ καὶ περισσὸν οἰμώξας,
σκύμνον θεωρῶν ἐν ἀβρότητι πάσῃ,
φάτνης ὀνείης δεσμὰ καὶ κάλως ῥήξας,
ἐς μέσσον αὐλῆς ἦλθ' ἄμετρα λακτίζων·
σαίνων δ', ὁποῖα καὶ θέλων περισκαίρειν,
τὴν μὲν τράπεζαν ἐς μέσον βαλὼν θλάσσεν,
ἅπαντα δ' εὐθὺς ἠλοίησε τὰ σκεύη.
δειπνοῦντα δ' εὐθὺς ἦλθε δεσπότην κρούσων,
νώτοις ἐπεμβάς· ἐσχάτου δὲ κινδύνου
θεράποντες ἐν μέσοισιν ὡς εἶδον, ἐσάωσαν·
κρανέαις δὲ κορύναις ἄλλος ἄλλοθεν κρούων
ἔκτεινον. ὡς δὲ κ' αὐτὸς ὕστατ' ἐξέπνει,
Ἔτλην, ἔλεξεν, οἷα χρῆν με, δυσδαίμων·
τί γὰρ παρ' οὔρεσιν οὐκ ἐπωλούμην,
βαιῷ δ' ὁ μέλεος κυνιδίῳ παρισούμην;

IX. Ὀρνιθοθήρας, Πέρδιξ καὶ Ἀλεκτορίσκος. (Fl. 369.)

Ὀρνιθοθήρᾳ φίλος ἐπῆλθεν ἐξαίφνης
μέλλοντι θύμβραν καὶ σέλινα δειπνήσειν·
ὁ δὲ κλωβὸς εἶχεν οὐδέν· οὐ γὰρ ἠγρεύκει.
ὥρμησε δ' οὖν πέρδικα ποικίλον θύσων,
ὃν ἡμερώσας εἶχεν εἰς τὸ θηρεύειν.
Ὁ δ' αὐτὸν οὕτως ἱκέτευε μὴ κτεῖναι,
[λέγων,] Τὸ λοιπὸν δικτύῳ τί ποιήσεις,
ὅταν κυνηγῇς; τίς δέ σοι συναθροίσει
εὐωπὸν ἀγέλην ὀρνέων φιλαλλήλων;
τίνος μελῳδοῦ [σὺ] πρὸς ἦχον ὑπνώσεις;
Ἀφῆκε τὸν πέρδικα, καὶ γενειήτην
ἀλεκτορίσκον συλλαβεῖν ἐβουλήθη.
Ὁ δ' ἐκ πετaύρου κλαγγὸν εἶπε φωνήσας,
Πόθεν μαθήσει, πόσσον εἰς ἕω λείπει,
τὸν ὡρόμαντιν ἀπολέσας [με;] πῶς γνώσῃ,
πότ' ἐννυχεύει χρυσότοξος Ὠρίων;
ἔργων δὲ τίς σε πρωϊνῶν ἀναμνησει,
ὅτε δροσώδης ταρσός ἐστιν ὀρνίθων;
Κἀκεῖνος εἶπεν, Οἶδας χρησίμους ὥρας·
ὅμως δὲ δεῖ [τὸν ξένον] ἔχειν τί δειπνήσει.

X. Γηπόνος, Ὄνος καὶ Βοῦς. (Fl. 371.)

Ὄνον τις ἔχων, καὶ τῷ βοῒ συζεύξας,
ἠροτρία πτωχῶς μέν, ἀλλ' ἀναγκαίως.
ἐπεὶ δὲ τοὔργου ὑπολύειν τελεσθέντος
ἔμελλεν αὐτούς, ἡ ὄνος διηρώτα

τὸν βοῦν, Τίς ἄξει τῷ γηπόνῳ τὰ σκεύη;
Ὁ δὲ πρὸς αὐτήν· Πάντως ὅσπερ εἴωθεν.

XI. Βοῦς καὶ Φρῦνος. (Fl. 378.)

Φρύνου γέννημα συνεπάτησε βοῦς πίνων·
ἐλθοῦσα δ' αὐτόσ' (οὐ παρῆν γὰρ) ἡ μήτηρ
παρὰ τῶν ἀδελφῶν, ποῦ ποτ' ἦν, ἐπεζήτει.
Τέθνηκε, μῆτερ, εἶπον· ἄρτι πρὸ τῆς ὥρας
ἦλθεν πάχιστον τετράπουν, ὑφ' οὗ κεῖται
χηλῇ μαλαχθείς. Ἡ δὲ φρῦνος ἠρώτα
φυσῶσ' ἑαυτὴν, εἰ τοσοῦτον ἦν ὄγκῳ
τὸ ζῶον· οἱ δὲ, Παύου, μὴ ποίει, μῆτερ·
θᾶσσον σεαυτὴν, εἶπον, ἐκ μέσου ῥήξεις,
ἢ τὴν ἐκείνου πιότητα μιμήσῃ.

XII. Χαραδριὸς καὶ αὐτοῦ Παῖδες. (Fl. 379.)

Χαραδριὸς ἦν τις ἐν χλόῃ νεοττεύων
τῷ κορυδαλῷ πρὸς τὸν ὄρθρον ἀντᾴδων,
καὶ παῖδας εἶχε ληΐου κόμαις θρέψας,
λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.
Ὁ δὲ τῆς ἀρούρης δεσπότης ἐποπτεύων
ἀνθηρὸν ὂν τὸ θέρος εἶπε, Νῦν ὥρη
πάντας καλεῖν με τοὺς φίλους, ἵν' ἀμήσω.
Καί τις χαραδριοῦ τῶν λοφοφόρων παίδων
ἤκουσεν αὐτοῦ, τῷ τε πατρὶ μηνύει,
σκοπεῖν κελεύων, ποῦ σφέας μεταστήσει·
ὁ δ' εἶπεν, Οὔπω καιρὸς ἐστὶ τοῦ φεύγειν·

ὃς τοῖς φίλοις πέποιθεν, οὐκ ἄγαν σπεύδει.
Ὡς δ' αὖθις ἐλθὼν, ἡλίου θ' ὑπ' ἀκτίνων
ἤδη ῥέοντα τὸν στάχυν θεωρήσας,
μισθὸν μὲν ἀμητορσιν αὔριον πέμπειν,
μισθὸν δ' ἔλεγε δραγματηφόροις δώσειν,
εἶπε χαραδριὸς παισὶ νηπίοις οὕτως,
Νῦν ἔστιν ὄντως, παῖδες, ἐκ τόπων φεύγειν,
ὅτ' αὐτὸς ἀμᾷ, κοὺ φίλοισι πιστεύει.

XIII. Ἀγαθὰ καὶ Ἐλπίς. (Tyrwh. p. 17. et 69.)

Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
ὁ δ' ἀκρατὴς ἄνθρωπος, εἰδέναι σπεύδων,
τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας,
διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους,
κἀκεῖ πέτεσθαι, τῆς δὲ γῆς ἄνω φεύγειν.
Μόνη δ' ἔμεινεν Ἐλπὶς, ἣν κατείληφε
τεθὲν τὸ πῶμα· τοιγὰρ Ἐλπὶς ἀνθρώποις
μόνη σύνεστι, τῶν πεφευγότων ἡμᾶς
ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.

XIV. Ἀηδὼν καὶ Χελιδών. (Tyrwh. p. 48.)

Ἀγροῦ χελιδὼν μακρὰν ἐξεπωτήθη,
εὗρεν δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
ἀηδόν' ὀξύφωνον· ἡ δ' ἀπεθρήνει
τὸν Ἴτυν, ἄωρον ἐκπεσόντα τῆς ὥρης.

Χ' ἡ μὲν χελιδὼν φησὶ, Φιλτάτη, ζώοις,
πρῶτον βλέπω σε σήμερον μετὰ Θρᾴκην·
ἀλλ' ἔλθ' ἐς ἀγρὸν καὶ πρὸς οἶκον ἀνθρώπων·
σύσκηνος ἡμῖν καὶ φίλη κατοικήσεις,
ὅπου γεωργοῖς κ' οὐχὶ θηρίοις ᾄσεις.
Τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείφθη.
Ἔα με πέτραις ἐμμένειν ἀοικήτοις·
οἶκος δέ μοι πᾶς ἥ τε μίξις ἀνθρώπων
μνήμην παλαιῶν συμφορῶν ἀναφλέξει.

XV. *Μύρμηξ καὶ Τέττιξ.* (Nev. 134. Observ. Misc. Belg. X. p. 122. Cor. 134.)

Χειμῶνος ὥρᾳ σῖτον ἐκ μυχοῦ σύρων
ἔψυχε μύρμηξ, ὃν θέρους σεσωρεύκει.
Τέττιξ δὲ τοῦτον ἱκέτευσε λιμώττων,
δοῦναί τι κ' αὐτῷ τῆς τροφῆς, ὅπως ζήσῃ.
Τί οὖν ἐποίεις, φησὶ, τῷ θέρει τούτῳ;
Οὐκ ἐσχόλαζον, ἀλλὰ διετέλουν ᾄδων.
Γελάσας δ' ὁ μύρμηξ, τὸν δὲ πυρὸν ἐγκλείων,
Χειμῶνος ὀρχοῦ, φησὶν, εἰ θέρους ηὖλεις.

XVI. *Γεωργὸς, Παῖς καὶ Κολοιοί.* (Fl. 374.)

Πλειάδος δυσμαὶ ἦσαν ἐν σπόρου ὥρῃ,
καί τις γεωργὸς εἰς νεὸν πυροὺς σπείρας
φύλαττεν ἑστώς· καὶ γὰρ ἄκριτον πλήθει
μέλαν κολοιῶν ἔθνος ἦλθε δυσφώνων
καὶ ψᾶρες ὀρύκται σπερμάτων ἀρουραίων.

τῷ δ' ἠκολούθει σφενδόνην ἔχων κοίλην
παιδίσκος· οἱ δὲ ψᾶρες ἐκ συνηθείας
ἤκουον, εἰ τὴν σφενδόνην ποτ' ᾐτήκει,
καὶ πρὶν βαλεῖν ἔφευγον. Εὗρε δὴ τέχνην
γεωργὸς ἄλλην, τόν τε παῖδα φωνήσας
δίδασκεν, Ὦ παῖ, χρὴ γὰρ ὀρνέων ἡμᾶς
σοφῶν φρένας φηλῶσαι· ἡνίκ' ἂν τοίνυν
ἔλθωσιν [αὖθις], ἐγὼ μὲν ἄρτον αἰτήσω,
σὺ δ' οὐ τὸν ἄρτον, σφενδόνην δέ μοι δώσεις.
Οἱ ψᾶρες ἦλθον, καὶ νέμοντο τὴν χώραν·
ὁ δ' ἄρτον αἰτεῖ, καθάπερ εἶχε συνθήκην·
οἱ δ' οὐκ ἔφευγον. Τῷ δ' ὁ παῖς λίθων πλήρη
τὴν σφενδόνην ἔδωκεν· ὁ δὲ γέρων ῥίψας
τοῦ μὲν τὸ βρέγμα, τοῦ δ' ἔτυψε τὴν κνήμην,
ἑτέρου τὸν ὦμον· οἱ δ' ἔφευγον ἐκ χώρης.
Γέρανοι συνήντων, καὶ τὸ συμβὰν ἠρώτουν,
καί τις κολοιὸς εἶπε, Φεύγετ' ἀνθρώπων
γένος πονηρὸν, ἄλλα μὲν πρὸς ἀλλήλους
λαλεῖν μαθόντων, ἄλλα δ' ἔργα ποιούντων.

(Nilanti Fabulae antiquae no. XIX. p. 15.)

Grus et cornix inter se coniuratione unita firmaverunt, ut grus cornicem ab aliis avibus defensaret, et cornix illi futura praevidendo narraret. Quae dum ad agrum cuiusdam saepius advenirent, et grana, quae olim sata fuerant, radicitus vellerent, videns dominus agri doluit, et ait puero: da mihi petram: monuit [cornix] gruem, et caute se egerunt. Alia vero die audiens cornix, quod pe-

tram quaereret, commonuit gruem, ne mali aliquid pateretur. Perpendit homo ille, quod cornix divinaret; dicit puero: quando dixero, da mihi offam, porrige lapidem. Ille veniens dixit puero, ut daret offam; at ille porrexit lapidem, qui gruem percussit, et crura eius fregit. Vulneratus grus dixit cornici, ubi sunt divina auspicia tua? cur me non monuisti? quia mihi taliter habuit provenire? Respondit [cornix:] Mea hic intelligentia culpabilis non est; sed omnium malorum sunt dolosa consilia, qui aliud dicunt, et aliud agunt: qui promissionibus innocentes inducunt, quos postea laedere non cessant.

XVII. *Ἀπόλλων καὶ Ζεύς.* (Flor. 351.)

Θεοῖς Ἀπόλλων ἔλεγε μακρὰ τοξεύων,
Οὐκ ἂν βάλοι τις πλεῖον οὐδὲ τοξεῦσαι.
Ὁ Ζεὺς δὲ παίζων ἠρίδαινε τῷ Φοίβῳ,
Ἑρμῆς δ' ἔσειεν Ἄρεος ἐν κυνῇ κλήρους,
λαχὼν δὲ Φοῖβος, τὸ τόξον τε κυκλώσας,
τὸ βέλος ἔπηξεν ἐντὸς Ἑσπέρου κήπου.
Ὁ Ζεὺς δὲ διαβὰς ταὐτὸ μέτρον [εἶτ'] ἔστη,
Καὶ ποῦ βάλω, ναί, φησὶν, οὐκ ἔχω χώραν.
τόξου δὲ νίκην ἔλαβε μηδὲ τοξεύσας.

XVIII. *Κώνωψ καὶ Ταῦρος.* (Tyrwh. p. 52. Cor. 213.)

Κώνωψ ἐπιπτὰς κέρατι καμπύλῳ ταύρου,
μικρόν τ' ἐπισχὼν, εἶπε ταῦτα βομβήσας.

Εἴ σου βαρύνω τὸν τένοντα καὶ κλίνω,
καθιδοῦμ' ἀπελθὼν ποταμίαις ἐν αἰγείροις.
Ὁ δ', Οὐ μέλει μοι, φησὶν, οὔτ' ἐὰν μείνῃς,
οὔτ' ἂν ἀπέλθῃς· οὐδ' ὅτ' ἦλθες ἐγνώκειν.

XIX. *Μηναγύρται.* (Tzetzes Chiliad. 13, 264. Natalis Comes Myth. 9, 5. Cor. 241.)

Γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη
ὄνος τις, οὐκ εὔμοιρος, ἀλλὰ δυσδαίμων,
ὅστις φέροι πτωχοῖσι καὶ πανούργοισι
πείνης ἄκος δίψης τε καὶ κακὴν τέχνην.
οὗτοι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους κώμην
περιϊόντες ἔλεγον, Τίς γὰρ ἀγροίκων
οὐκ οἶδεν Ἄττιν λευκὸν, ὡς ἐπηρώθη;
τίς οὐκ ἀπαρχὰς ὀσπρίων τε καὶ σίτων
ἁγνῷ φέρων δίδωσι τυμπάνῳ Ῥείης;

XX. *Κολοιὸς καὶ Ὄρνεα.* (Tyrwh. p. 25. Cor. 188.)

Ἶρις ὁ τῶν θεῶν ἄγγελος πᾶσι πετεινοῖς ἐκήρυξεν, Εἴ τις ὑμῶν κρείττων εἰς κάλλος φανῇ, οὗτος πτηνῶν βασιλεύσει ὑπὸ τοῦ Διός. Ἐπισυνηγμένων δὲ πάντων ὀρνέων εἰς τὴν τῆς Στυγὸς κρήνην, καὶ ἀπολουομένων, Κολοιὸς, υἱὸς κορώνης γέρων, πάντων ὀρνέων τὰ πτερὰ πρὸς ἑαυτὸν ἁρμοσάμενος ἤλυθεν ἀετοῦ κρείσσων. Ὁ Ζεὺς δὲ τὸ κάλλος θαμβηθεὶς τὴν νίκην τούτῳ παρέχειν ἔμελλεν, εἰ

μὴ Χελιδὼν Ἀθηναία τοῦτον ἤλεγξε, τὸ πτερὸν αὐτοῦ ἐκσπάσασα· τὸ αὐτὸ δὲ καὶ τῶν λοιπῶν ὀρνέων ποιησάντων, διεγνώσθη κολοιὸς ὤν.

XXI. *Δρύες καὶ Ζεύς.* (Tyrwh. p. 5. Suidas v. *Στελεόν.*)

Αἱ Δρύες κατεμέμφοντο τὸν Δία, ὅτι ἐπεὶ κοπτόμεθα, τί ἡμᾶς μετὰ τῶν λοιπῶν φυτῶν ἐποίησας; ὁ δὲ Ζεὺς εἶπεν, Ὑμεῖς αὐταὶ αἴτιοι τῆς κοπῆς· εἰ μὴ γὰρ ὑμεῖς τὰ στελλίδια ἐγεννᾶτε, οὐκ ἂν πέλεκυς ὑμᾶς ἐξέκοπτεν.

Εἰ μὴ γὰρ ὑμεῖς στελεὰ πάντα τίκτητε,
οὐκ ἂν γεωργὸς πέλεκυν ἐν δόμοις εἶχεν.

XXII. *Γάμοι Ἡλίου.* (Tyrwh. p. 6. Cor. 550. Suidas v. *Παιὰν, Αὐήνας.*)

Γάμοι τοῦ Ἡλίου θέρους ἐγίνοντο· πάντα δὲ τὰ ζῶα ἔχαιρον ἐπὶ τούτῳ· ἠγάλλοντο δὲ καὶ βάτραχοι· εἷς δὲ τούτων εἶπεν, Ὦ μωροὶ, εἰς τί ἀγάλλεσθε; εἰ γὰρ μόνος ὢν ὁ Ἥλιος πᾶσαν ὕλην ἀποξηραίνει, εἰ γήμας ὅμοιον αὐτῷ παῖδα γεννήσει, τί οὐ πάθωμεν κακόν;

Ὁ δ' εἶπε κλαύσας φρῦνος, Οὐχὶ παιᾶνος
τοῦτ' ἔστιν ἡμῖν, φροντίδος δὲ καὶ λύπης.
εἰ γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὐαίνει,
τί μὴ πάθωμεν τῶν κακῶν, ὅταν γήμας
ὅμοιον αὐτῷ παιδίον τι γεννήσῃ;

XXIII. *Λύκοι καὶ Κύνες.* (Tyrwh. p. 15. Suidas v. *φρήτρα* et *διάργεμοι.*)

Λύκοις καὶ κυσὶν ἦν ποτε ἔχθρα· κύων δὲ Ἕλλην ἡρέθη στρατηγὸς κυσίν. Οὗτος πρὸς τὴν μάχην ἐβράδυνεν, οἱ δὲ λύκοι ἠπείλουν σφοδρῶς· ὁ δὲ εἶπεν, Οἴδατε, τίνος χάριν βραδύνω; πρέπον ἐστὶν ἀεὶ προβουλεύεσθαι· ὑμῶν γὰρ τὸ γένος καὶ ἡ χρόα πάντων ἕν ἐστιν, οἱ ἡμέτεροι δὲ ἐκ πολλῶν τρόπων εἰσὶ καὶ τοῖς τόποις καυχῶνται· ἀλλὰ καὶ ἡ χροιὰ ἁπάντων οὐκ ἔστι μία καὶ ἴση, ἀλλ' οἱ μὲν μέλανες, οἱ δὲ πυῤῥοὶ, οἱ δὲ λευκοὶ καὶ τεφρώδεις· καὶ πως ἂν δυνηθείην εἰς πόλεμον ἄρχειν τῶν ἀσυμφώνων καὶ μὴ ὅμοια πάντα ἐχόντων;

Οἳ σφᾶς ἐκόσμουν καὶ διεῖλον εἰς φρήτρας,
λόχους τε καὶ φάλαγγας, ὥσπερ ἀνθρώπους.

Ἀλλ' οἱ μὲν ἡμῶν μέλανες, οἱ δὲ τεφρώδεις,
ἕτεροι δὲ ξανθοὶ καὶ διάργεμοι στήθη.

XXIV. *Λέων νοσῶν, Ἀλώπηξ καὶ Ἔλαφος.* (Tyrwh. p. 8. Fl. 556. Suidas v. *Ἀχαΐνην, Πανθοίνην, Νεβρός.*)

Λέων νοσήσας ἔκειτο ἐν φάραγγι· τῇ προσφιλεῖ δὲ ἀλώπεκι, ᾗ προσωμίλει, εἶπεν, Εἰ θέλεις ὑγιᾶναι με καὶ ζῆν, τὴν ἔλαφον τὴν μεγίστην, τὴν εἰς τὸν δρυμὸν οἰκοῦσαν, τοῖς γλυκέσι σου λόγοις ἐξαπατήσασα ἄγε εἰς ἐμὰς χεῖρας· ἐπιθυμῶ γὰρ αὐτῆς ἐγκάτων καὶ καρδίας. Ἡ δὲ ἀλώπηξ

ἀπελθοῦσα εὗρε τὴν ἔλαφον σκιρτῶσαν ἐν ταῖς ὕλαις· προσπαίσασα δὲ αὐτῇ καὶ χαίρειν εἰποῦσα ἔφη, Ἀγαθά σοι ἦλθον μηνῦσαι. Οἶδας, ὡς ὁ βασιλεὺς ἡμῶν γείτων μοί ἐστι· νοσεῖ δὲ, καὶ ἐγγύς ἐστι τοῦ θνήσκειν. Ἐβουλεύετο οὖν, ποῖον τῶν θηρίων μεθ᾽ αὐτὸν βασιλεύσει· ἔφη δὲ, ὅτι σῦς μέν ἐστιν ἀγνώμων, ἄρκτος δὲ νωθρὰ, πάρδαλις δὲ θυμώδης, τίγρις ἀλαζών· ἡ ἔλαφος ἀξιοτάτη ἐστὶν εἰς βασιλείαν, ὅτι ὑψηλή ἐστι τὸ εἶδος, πολλὰ δὲ ἔτη ζῇ, καὶ τὸ κέρας αὐτῆς ὄφεσι φοβερόν. Καὶ τί σοι τὰ πολλὰ λέγω; ἐκυρώθης βασιλεύειν. Τί μοι ἔσται πρώτῃ σοι εἰπούσῃ; Ἀλλ᾽ εὖξαι μοὶ σπευδούσῃ, μὴ πάλιν με ζητήσῃ· χρήζει γάρ με σύμβουλον ἐν πᾶσιν. Εἰ δὲ ἐμοῦ τῆς γραὸς ἀκούσῃς, συμβουλεύω καὶ σὲ ἐλθεῖν καὶ προσμένειν τελευτῶντι αὐτῷ. Οὕτως εἶπεν ἡ ἀλώπηξ. Τῆς δὲ ὁ νοῦς ἐτυφώθη τοῖς λόγοις, καὶ ἦλθεν εἰς τὸ σπήλαιον, μὴ γινώσκουσα τὸ μέλλον. Ὁ δὲ λέων ἐφορμήσας αὐτῇ ἐν σπουδῇ, τὰ ὦτα μόνον τοῖς ὄνυξιν ἐσπάραξεν· ἡ δὲ ταχέως ἔσπευδεν ἐν ταῖς ὕλαις. Καὶ ἡ μὲν ἀλώπηξ τὰς χεῖρας ἐκρότησεν, ὅτι εἰς μάτην ἐκοπίασεν, ὁ δὲ λέων μέγα βρυχώμενος ἐστέναξε· λιμὸς γὰρ αὐτὸν εἶχε καὶ λύπη· καὶ ἱκέτευε τὴν ἀλώπεκα ἐκ δευτέρου τι ποιῆσαι, καὶ δόλῳ πάλιν ταύτην ἀγαγεῖν. Ἡ δὲ εἶπεν, Χαλεπὸν καὶ δύσκολον ἐπιτάσσεις ἐμοὶ πρᾶγμα, ἀλλ᾽ ὅμως ὑπουργήσω σοι. Καὶ δὴ ὡς ἰχνευτὴς κύων ἐπηκολούθει πλέκουσα πανουργίας· ποιμένας δὲ ἐπηρώτα, εἰ εἶδον ἔλαφον ἡμαγμένην· οἱ δὲ ἔδει-

ξαν ἐν τῇ ὕλῃ. Εὗρε δὲ αὐτὴν καταψυχομένην, καὶ ἔστη ἀναιδῶς· ἡ δὲ ἔλαφος χολωθεῖσα καὶ φρίξασα τὴν χαίτην εἶπεν, Ὦ κάθαρμα, ἀλλὰ οὐκέτι χειρώσῃ με· εἰ δὲ καὶ πλησιάσεις μοι, οὐ ζήσεις ἔτι. Ἄλλους ἀλωπέκιζε τοὺς ἀπείρους· ἄλλους ποίει βασιλεῖς, καὶ ἐρέθιζε. Ἡ δὲ εἶπεν, Οὕτως ἄνανδρος εἶ καὶ δειλή; οὕτως ἡμᾶς τοὺς φίλους ὑποπτεύεις; Ὁ μὲν λέων τοῦ ὠτὸς κρατήσας ἤμελλε συμβουλεύειν, καὶ ἐντολάς σοι δοῦναι περὶ τῆς τηλικαύτης βασιλείας, ὡς ἀποθνήσκων· σὺ δὲ οὐδὲ κνῆσμα χειρὸς ἀῤῥώστου ὑπέστης· καὶ νῦν ὑπέρ σου πλεῖον ἐκεῖνος θυμοῦται, καὶ βασιλέα τὸν λύκον θέλει ποιῆσαι, οἴμοι, πονηρὸν δεσπότην. Ἀλλ' ἐλθὲ, καὶ μηδὲν πτοηθῇς, καὶ γένου ὡς πρόβατον· ὄμνυμι γάρ σοι εἰς τὰ φύλλα πάντα καὶ πηγὰς, μηδὲν κακὸν παθεῖν παρὰ τοῦ λέοντος· ἐγὼ δὲ μόνῃ σοι δουλεύσω. Οὕτως ἀπατήσασα τὴν δειλαίαν ἔπεισε δεύτερον ἐλθεῖν. Ἐπεὶ δὲ εἰς τὸ σπήλαιον εἰσῆλθεν, ὁ μὲν λέων δεῖπνον εἶχε, πάντα τὰ ὀστᾶ καὶ μυελοὺς καὶ ἔγκατα αὐτῆς καταπίνων· ἡ δὲ ἀλώπηξ εἱστήκει ὁρῶσα, καρδίαν δὲ ἐκπεσοῦσαν ἁρπάζει λαθραίως, τοῦ κόπου κέρδος ταύτην φαγοῦσα. Ὁ δὲ λέων, ἅπαντα ἐρευνήσας, μόνην καρδίαν ἐπεζήτει, ἀλώπηξ δὲ μήκοθεν στᾶσα ἔφη, Αὕτη ἀληθῶς καρδίαν οὐκ εἶχεν· μὴ ἔτι ζήτει· ὁποίαν γὰρ καρδίαν αὕτη εἶχεν, ἥτις δὶς εἰς οἶκον καὶ χεῖρας λέοντος εἰσῆλθεν;

Τοιαῦτα κωτίλλουσα τὴν ἀχαΐνην
ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.

Λέων μὲν αὐτὸς εἶχε δαῖτα πανθοίνην,
ἔγκατα λαφύσσων, μυελὸν ὀστέων πίνων,
καὶ σπλάγχνα δάπτων. — — —
πεινῶσα κερδὼ, καρδίην δὲ νεβρείην
λάπτει πεσοῦσαν ἁρπάσασα λαθραίως.

XXV. *Μῦες δύο.* (Tyrwh. p. 14. Suidas v. *Σώρακος, Καμειραία, Ἰσχὰς, Κρίμνον.*)

Μῦες δύο ὁ μὲν ἀρουραῖος, ὁ δὲ οἰκόσιτος, κοινὸν εἶχον τὸν βίον. Ὁ δὲ οἰκόσιτος ἦλθε πρῶτος δειπνήσων ἐπὶ τῆς ἀρούρας ἔτι ἀνθούσης· τρώγων δὲ σῖτον καὶ ῥίζας σὺν τοῖς βώλοις εἶπεν, Μύρμηκος ζῇς βίον ταλαιπώρου· ἐμοὶ δὲ πολλὰ ἔνεστιν ἀγαθά· τὸ κέρας οἰκῶ τῆς Ἀμαλθείας, ὡς πρὸς σέ. Ἐὰν ἔλθῃς μετ᾽ ἐμοῦ, ὡς θέλεις ἀσωτεύσῃ. Ἀπῆγε πείσας τὸν μῦν ἐν τῷ οἴκῳ, ἔδειξε δὲ αὐτῷ σῖτον καὶ ἄλευρα καὶ ὄσπρια καὶ σῦκα καὶ μέλι καὶ φοίνικα. Οὗτος δὲ ἐτέρφθη καὶ διεχύθη· ὁ δὲ ἤγαγε καὶ τυρὸν ἐκ κανισκίου σύρων. Ἤνοιξέ τις τὴν θύραν, οἱ δὲ ἔφυγον εἰς στενὴν τρώγλην· ἐσύριζον δὲ ὑπ᾽ ἀλλήλων στενούμενοι. Ὡς δὲ πάλιν ἦλθεν ἐκκύψαι καὶ μικρὰν ἰσχάδα συραι, ἕτερος ἦλθεν ἄλλό τι ἆραι· οἱ δὲ ἔνδον ἐκρύπτοντο. Ὁ δὲ ἀρουραῖος μῦς καίπερ τοσαῦτα πεινῶν εἶπε, Χαῖρε, καὶ πλούτει, καὶ τρύφα, ἔχων τὰ πάντα μετὰ κινδύνων· ἐγὼ δὲ βοτάνας καὶ ῥίζας τρώγων ἀφόβως καὶ λιτῶς ζήσω.

Ποῦ δ᾽ ὀσπρίων ἦν σωρὸς, ἢ πίθος σύκων,

στάμνοι τε μέλιτος, σώρακοί τε φοινίκων.

μικρὸν δ' ἐπισχὼν, εὖτ' ἔσωθεν ἐκκύψας
ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίας.

Ἐγὼ δὲ λιτῆς οὐκ ἀφέξομαι βώλου,
ὑφ' ἣν τὰ κρίμνα μὴ φοβούμενος τρώγω.

XXVI. *Θεῶν γάμοι.* (Tyrwh. p. 18.)

Θεοὶ πάντες ἔγημαν ἣν ἕκαστος εἴληφεν ἐν κλήρῳ. Πόλεμος παρῆν ἐσχάτῳ κλήρῳ, Ὕβριν δὲ μόνην κατέλαβεν. Ταύτης περισσῶς ἐρασθεὶς ἔγημεν· ἐπακολουθεῖ δὲ αὐτῇ πανταχοῦ βαδιζούσῃ.

XXVII. *Ἵππος πολεμιστής.* (Tyrwh. p. 18.)

Ἵππον τὸν ἑαυτοῦ στρατιώτης, ἕως μὲν καιρὸς τοῦ πολέμου ἦν, ἐκρίθιζεν, ἔχων συνεργὸν ἐν ταῖς ἀνάγκαις· ὅτε δὲ ὁ πόλεμος κατέπαυσεν, εἰς δουλείας τινὰς καὶ φόρτους βαρεῖς ὁ ἵππος ὑπούργει, ἀχύρῳ μόνῳ τρεφόμενος. Ὡς δὲ πάλιν πόλεμος ἠκούσθη καὶ ἡ σάλπιγξ ἐφώνει, τὸν ἵππον χαλινώσας ὁ δεσπότης καὶ αὐτὸς καθοπλισθεὶς ἐπέβη. Ὁ δὲ συνεχῶς κατέπιπτε μηδὲν ἰσχύων, ἔφη δὲ τῷ δεσπότῃ, Ἄπελθε μετὰ τῶν πεζῶν τῶν ὁπλιτῶν ἄρτι· σὺ γὰρ ἀφ' ἵππου εἰς ὄνον με μετεποίησας· καὶ πῶς πάλιν ἐξ ὄνου ἵππον θέλεις ἔχειν;

XXVIII. *Δικαστήριον τῶν ζώων.* (Tyrwh. p. 20.)

Λέων τις ἐβασίλευεν οὐχὶ θυμώδης οὐδὲ ὠμὸς,

οὐδὲ βίαιος, ἀλλὰ πρᾶος καὶ δίκαιος, ὥσπερ ἄνθρωπος· ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας συναθροισμὸς ἐγένετο πάντων τῶν ζώων, δοῦναι δίκας καὶ λαβεῖν πρὸς ἄλληλα, ὁ λύκος μὲν προβάτῳ, πάρδαλις δὲ αἰγάγρῳ, ἐλάφῳ δὲ τίγρις, κύων δὲ λαγωῷ. Ὁ πτὼξ δὲ ἔφη, Ηὐχόμην ἰδεῖν τὴν ἡμέραν ταύτην, ἵνα τοῖς βιαίοις φοβερὰ τὰ εὐτελῆ φανῶσιν.

XXIX. *Ζεὺς δικαστής.* (Tyrwh. p. 21. Fl. 365.)

Ὁ Ζεὺς τὰς τῶν ἀνθρώπων ἁμαρτίας ἐν ὀστράκοις τὸν Ἑρμῆν ὥρισε γράφειν, καὶ εἰς κιβώτιον ἀποτιθέναι πλησίον αὐτοῦ,
ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ.
Συγκεχυμένων δὲ τῶν ὀστράκων ἐπ᾽ ἀλλήλοις,
τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει
εἰς τὰς τοῦ Διὸς χεῖρας, εἴ ποτε καλῶς κρίνοιτο.

Ὀστράκῳ γράφοντα τὸν Ἑρμῆν ἁμαρτίας ἐκέλευσεν ὁ Ζεὺς εἰς κιβωτὸν σωρεύειν, ἵν᾽ ἐρανίσας ἑκάστου τὰς δίκας ἀναπράσσῃ.
Τῶν ὀστράκων δὲ κεχυμένων [ἐπ᾽] ἀλλήλοις,
τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει
εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴ ποτ᾽ εὐθύνοι.
Τῶν οὖν πονηρῶν οὐ προσῆκε θαυμάζειν
ἂν θᾶσσον ἀδικῶν ὀψέ τις κακῶς πράσσῃ.

XXX. *Ἡμίονος.* (Tyrwh. p. 22. Nev. 40. Cor. 140.)

Ἡμίονος ἐκ κριθῆς παχεῖα γενομένη ἔτρεχε σκιρτῶσα καὶ ἔλεγεν, Ἵππος ἐστί μοι μήτηρ, ἐγὼ δὲ οὐδὲν αὐτῆς εἰς τὸν δρόμον ἐλάττων. Ὅτε δὲ ἔπαυσε τοῦ δρόμου, ἐσκυθρώπασεν·
ὄνου γὰρ εὐθὺς πατρὸς οὖσ᾽ ἀνεμνήσθη.

XXXI. *Λύκος καὶ Ἄρην.* (Tyrwh. p. 24. Suidas v. *Τρίγχος, Πρίων.* Cor. 139.)

Λύκος διήρχετο ἔξωθεν τείχους, ἔνθα ἀρνὸς παρακύψας ὕβριζε πολλὰ τὸν λύκον· κἀκεῖνος ὀδόντας τρίζων εἶπεν, Ὁ τόπος με λοιδορεῖ, σὺ μὴ καυχῶ.

Λύκος παρῄει τρίγχον, ἔνθεν ἐκκύψας
ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως·
κἀκεῖνος εἶπε, τὰς σιαγόνας πρίων·
Ὦταν, ὁ τόπος μὲ λοιδορεῖ, σὺ μὴ καυχῶ.

XXXII. *Ἀλώπηξ καὶ Πάρδαλις.* (Tyrwh. p. 25. Supra no. XII.)

Στικτή ποτε πάρδαλις ἐκαυχᾶτο φορεῖν ἁπάντων ζώων ποικιλωτέραν δέῤῥιν· πρὸς ἣν ἀλώπηξ εἶπεν, Ἐγὼ σοῦ τῆς δορᾶς κρείττονα καὶ ποικιλωτέραν γνώμην ἔχω.

XXXIII. Ἀλεκτρυόνες δύο καὶ Ἀετός. (R. Stephani Aes. p. 41. Cor. 145. Tyrwh. p. 31.)

Ἀλέκτορες δύο δι' ὄρνεις ἐμάχοντο, οὓς λέγουσι θυμὸν ἔχειν οἷον ἀνθρώπων· τούτων ὁ ἡττηθεὶς κατεκρύβη ἐν γωνίᾳ, ὁ δὲ ἕτερος ἀνακράξας καὶ ἐπὶ τὸ δῶμα ἀναπετάσας διὰ τὴν νίκην εὐθὺς ἡρπάγη ὑπὸ τοῦ ἀετοῦ· ὁ δὲ ἕτερος ταῖς ὄρνισιν ἀφόβως συνῆν.

(Suidas v. Ταναγραῖοι, Τἀπίχειρα.)

Ἀλεκτορίσκων ἦν μάχη Ταναγραίων,
οἷς φασιν εἶναι θυμὸν ὥσπερ ἀνθρώποις.

ἀμείνον' ἔχων τἀπίχειρα τῆς ἥττης.

XXXIV. (Cf. annot. ad Augustanam F. CLXI.)

XXXV. (Apollonii Lexicon Homericum v. Ἄειδε. Tyrwh. p. 2.)

— — ταῦτα δ' Αἴσωπος
Ὁ Σαρδιηνὸς εἶπεν, ὅντιν' οἱ Δελφοὶ
ᾄδοντα μῦθον οὐ καλῶς ἐδέξαντο.

XXXVI. (Tyrwh. p. 45. Fab. Nev. 71.)

Γνώμη πονηρὰ χρηστὸν ἦθος οὐ τίκτει.

XXXVII. (Suidas v. *Ἄρκος*. Fab. Nev. 168.)

Ἄρκος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει.

XXXVIII. (Suidas v. *Ὄτλος*. Nev. Fab. 177.)

Τάλας, ἐφώνει, μόχθον οἷον ὀτλεύεις!

XXXIX. (Suidas v. *Γομφίους*. Nev. Fab. 178.)

ὁ δ' ὠχριάσας γομφίους τε συγκρούων,
Μή μοι χαρίζου, φησίν. — —

XL. (Suidas v. *Ἐναφῆκαν*. Nev. Fab. 182.)

ἐναφῆκαν * * * *σφῆνας, ὡς διασταίη.*

XLI. (Tyrwh. p. 52. Nev. Fab. 212.)

Βίος ἀβέβαιος παντὸς ἀνδρὸς ἀπλήστου,
ἐλπίσι ματαίων πραγμάτων ἀναχοῦται.

XLII. (Suidas v. *Ἐρωτῶ*. Nev. Fab. 231.)

ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον, ἠρώτα.

XLIII. (Suïdas v. *Βληχώδης*. Nev. Fab. 242.)

Μωρὸς δὲ ποιμὴν καὶ τὰ πάντα βληχώδης
πέμπειν ἔμελλεν. — — —

XLIV. (Suidas v. *Βουκόλημα*. Etymol. M. v. *Πεπρωμένον*. Nev. Fab. 268. Flor. 187.)

Χ' ὅπως ἔχῃ τι βουκόλημα τῆς λύπης,
ἐνέθηκε τοίχοις ποικίλας γραφὰς ζώων.

Ἅ σοι πέπρωται, ταῦτα τλῆθι γενναίως,
καὶ μὴ σοφίζου· τὸ χρεὼν γὰρ οὐ φεύξῃ.

XLV. (Suidas v. *Ὦνος*. Ad Fab. Nev. 294. refert Tyrwh.)

Τί σοι τὸ κέρδος; ἢ τίν' ὦνον εὑρήσετε;

XLVI. (Suidas v. *Ἦρα*. Tyrwh. p. 59. Gabriae Tetr. Nev. p. 381.)

Αἰσχρᾶς τινος ἤρα καὶ κακοτρόπου δούλης.

Fabula Bodleiana incipit: *Αἰσχρᾶς καὶ κακοτρόπου δούλης ἤρα δεσπότης.* In Suida Codex *σαπρᾶς* habet, ubi *αἰσχρᾶς* editur.

XLVII. (Suidas v. *Κωλώτης*.)

Σοφῆς ἀράχνης ἱστὸν εὗρε κωλώτης,
καὶ λεπτὸν ἐνέδυ φᾶρος ἐκτεμὼν τοίχου.

XLVIII. (Suidas v. *Νέμεσις*.)

παρῇ δὲ Νέμεσις, ἢ τἄδικ' ἐποπτεύει.

XLIX. (Suidas v. *Οἴναρα*.)

Δήμητρι ταύρων ὄχλον ἀγρότης θύσας,
ἅλω πλατεῖαν οἰναροις ὑπεστρώκει.

L. (Suidas v. *Τιττυβίζετε*.)

Ταύτης ἀκούσας μικρὰ τιττυβιζούσης·

ΜΕΝΑΝΔΡΟΥ ΓΝΩΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ.

E tribus Codicibus MSS. excerptae. Versus numeris arabicis ad latus sinistrum signati, sunt e Vindobonensi pleniore excerpti: hic ubi desinit, (desinit autem in littera *O*) eius in locum successit alter Vindobonensis, 2 numero signatus. Contra priore in parte usque ad finem litterae *O* sententiae e Vind. 2 excerptae sequuntur, linea transversa separatae. Has demum sequuntur singulares sententiae e Codice Guelferbytano excerptae, quae ad latus dextrum litteram G. cum numero versuum Codicis appositam habent. Numeri in serie anteriore omissi una cum versibus vitiosis quaeri debent in annotatione. Littera B. ad latus dextrum cum numeris posita in linea exteriore significat Brunckianae collectionis versuum numeros, quo facilius a lectore possint comparari. A. significat Aldinam collectionem, in qua extant versus in Brunckiana omissi.

ΜΕΝΑΝΔΡΟΥ

ΓΝΩΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ.

α′

Ἄνθρωπον ὄντα δεῖ φρονεῖν τἀνθρώπινα.
Ἀναφαίρετον κτῆμ' ἐστι παιδεία βροτοῖς. B. 373
Ἀεὶ τὸ λυποῦν ἐκδίωκε τοῦ βίου. B. 299
Ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν. B. 343
Ἃ ψέγομεν ἡμεῖς, ταῦτα μὴ μιμώμεθα.
Ἅπαν τὸ κέρδος ἄδικον φέρει βλάβην.
Ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα. B. 246
Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης. B. 475
Ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως. B. 510
Ἀχάριστος, ὅστις εὖ παθὼν ἀμνημονεῖ. B. 32
Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος. B. 581
Ἀγαθὸν μέγιστον ἡ φρόνησις ἔστ' ἀεί. B. 563
Ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν. B. 499
Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην. B. 232
Ἀβουλίᾳ γὰρ πολλὰ βλάπτονται βροτοί. B. 61
Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί. B. 313
Ἀνεξέταστον μὴ κόλαζε μηδένα. B. 271
Ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ. B. 274
Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ. B. 433
Ἄνθρωπος ὢν γίγνωσκε τῆς ὀργῆς κρατεῖν. B. 352

Ἅπαντας αὐτῆς κρείσσονας ἀνάγκη ποιεῖ.
Αἰσχρὸν δὲ μηδὲν πρᾶττε μηδὲ μάνθανε. B. 7
Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί. B. 434
Ἀνδρὸς δὲ φαύλου ὅρκον εἰς ὕδωρ γράφε. B. 346
25 Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται. B. 283
Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται. B. 147
Ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε. B. 1
Ἀνὴρ γὰρ ἄνδρα καὶ πόλις σώζει πόλιν. B. 56
Ἀνὴρ ἄριστος οὐκ ἂν εἴη δυσγενής. B. 186
30 Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται. B. 437
31 Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι. B. 512
34 Ἄριστόν ἐστι πάντ᾽ ἐπίστασθαι καλά. B. 375
35 Ἀεὶ δ᾽ ὁ σωθεὶς ἐστιν ἀχάριστος φύσει. B. 33
Ἄνευ προφάσεως οὐδὲν ἀνθρώποις κακόν.
Ἀνελεύθεροι γάρ εἰσιν οἱ φιλάργυροι.
Ἀρ᾽ ἐστὶ θυμοῦ φάρμακον χρηστὸς λόγος.
Ἅπαντας εὖ πράττοντες ἤδομεν φίλους. B. 511
40 Ἃ μὴ προσήκει μήτ᾽ ἄκουε μήθ᾽ ὅρα. B. 21
Ἀχάριστος ἀνὴρ μὴ νομιζέσθω φίλος.
Ἅπαντας ἡ παίδευσις ἡμέρους τελεῖ. B. 374
Αἱ δ᾽ ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν. B. 182
Αὐτὸς πενωθεὶς τοῖς ἔχουσι μὴ φθόνει. B 508
45 Ἀρχῆς τετευχὼς ἴσθι ταύτης ἄξιος. B. 42
Ἀνὴρ ὁ φεύγων καὶ πάλιν μαχήσεται.
Ἅπαντες ἐσμὲν εἰς τὸ νουθετεῖν σοφοί, A.
αὐτοὶ δ᾽ ἁμαρτάνοντες οὐ γιγνώσκομεν. A.
Ἄρεσκε πᾶσι, καὶ σὺ μὴ σαυτῷ μόνῳ.
50 Ἀνουθέτητόν ἐστιν ἡ παῤῥησία. B. 436

Ἀνὴρ ἄβουλος εἰς κενὸν μοχθεῖ τρέχων. B. 60
52 Ἀνὴρ δίκαιος πλοῦτον οὐκ ἔχει ποτέ.

Ἀρχὴν νόμιζε τὸν θεὸν φοβεῖσθαι.
Ἀδίκοις φίλοις ἢ κακοῖς μὴ συμπλέκου.
Ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται. B. 62
Ἄλυπον ἄξεις τὸν βίον χωρὶς γάμου. B. 68

Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ.
Βιοῦν ἀλύπως θνητὸν ὄντ᾽ οὐ ῥᾴδιον. B. 301
55 Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει. B. 261
Βραδὺς πρὸς ὀργὴν ἐγκρατὴς φέρειν γ...
Βέβαιος ἴσθι καὶ βεβαίως χρῶ φίλοις. B. 513
Βάδιζε τὴν εὐθεῖαν, ἵνα δίκαιος ᾖς. B. 149
60 Βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν. B. 260
Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ᾽ οὐ δυ-
νάμεθα. B. 417
Βιοῖ μὲν οὐδεὶς ὃν προαιρεῖται βίον. B. 46
Βίος κέκληται, ὃς βίᾳ πορίζεται. B. 48
Βίου δικαίου γίγνεται τέλος καλόν. B. 150
65 Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον. B. 63
Βροτοῖς ἅπασιν ἀποθανεῖν ὀφείλεται. B. 224
Βουλὴν ἅπαντος πράγματος προλάμβανε. A.
Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πε-
σών. B. 353
Βούλου γονεῖς πρὸ πάντων ἐν τιμαῖς ἔχειν. B. 98
70 Βοηθὸς ἴσθι τοῖς καλῶς εἰργασμένοις.
Βίος βίου δεόμενος οὐκ ἔστιν βίος. A.
Βέλτιόν ἐστι σῶμά γ᾽ ἢ ψυχὴν νοσεῖν. B. 22

Βίου σπάνις πέφυκεν ἀνδράσιν γυνή. B. 108

74 Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ ἔχῃς.

Βασιλεία δ' ἐστὶν εἰκὼν ἔμψυχος θεοῦ.

---

75 Γλώσσης μάλιστα πανταχῆ πειρῶ κρατεῖν.

Γαστρὸς δὲ πειρῶ πᾶσαν ηνίαν κρατεῖν. A.

Γίγνωσκε σαυτὸν νουθετεῖν ὅπου τρέχεις.

Γυναιξὶ πάσαις κόσμον ἡ σιγὴ φέρει. B. 109

Γυναικὸς ἐσθλῆς ἐστὶ σώζειν οἰκίαν. B. 110

80 Γυνὴ γὰρ οἴκῳ πῆμα καὶ σωτηρία.

Γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον. B. 116

Γυνὴ γὰρ οὐδὲν οἶδε πλὴν ὃ βούλεται. B. 117

Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν. B. 83

Γῆ πάντα τίκτει καὶ πάντα κομίζεται. B. 49

85 Γέρων ἐραστὴς ἐσχάτη κακὴ τύχη. B. 205

Γαμεῖν ὁ μέλλων εἰς μετάνοιαν ἔρχεται. B. 69

Γυναικὶ κόσμος ὁ τρόπος, οὐ τὰ χρυσία. B. 111

Γυνὴ δικαία τοῦ βίου σωτηρία. B. 112

Γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον. B 113

90 Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν. B. 114

Γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα νοῦν ἔχειν. B. 379

Γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει. B. 115

Γάμει δὲ μὴ τὴν προῖκα, τὴν γυναῖκα δέ.

Γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας. B. 118

95 Γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις. B. 119

Γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων. B 86

Γάμος γὰρ ἀνθρώποισιν εὐκταῖον κακόν. B. 70

Γαμεῖν δὲ μέλλων βλέψον εἰς τοὺς γείτονας. B. 71

Γύμναζε παῖδας, ἄνδρα γὰρ οὐ γυμνάσεις.
100 Γονεῖς δὲ τίμα, καὶ φίλους εὐεργέτει. B. 99
Γυνὴ τὸ συμφέρον οὐ βούλεται.
Γνώμη γερόντων ἀσφαλεστέρα νέων.
Γελᾷ δ' ὁ μωρὸς, κἄν τι μὴ γέλοιον ᾖ. B. 84
Γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει. B. 121
105 Γέρων γενόμενος μὴ γάμει νεωτέραν.
Γλώσση ματαίᾳ ζημία προστρίβεται. B. 450
Γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται. B. 2
Δίκαιος εἶναι μᾶλλον ἢ χρηστὸς θέλε. B. 161
110 Δεῖ τοὺς φιλοῦντας πίστιν, οὐ λόγους, ἔχειν. B. 514
Δοῦλος πεφυκὼς εὐνόει τῷ δεσπότῃ.
Δύσμορφος εἴην μᾶλλον ἢ κακηλόγος. B. 257
Δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ. B. 189
Δίκαιος ἴσθ', ἵνα καὶ δικαίων δὴ τύχῃς. B. 160
115 Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν. B. 418
Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ. B. 9
Διάλυε μὴ σύγκρουε, μαχομένους φίλους.
Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται. B. 172
Δοὺς τῇ τύχῃ τὸ μικρὸν ἐκλήψῃ μέγα. B. 477
120 Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς. B. 171
Δίκαια δράσας σύμμαχον ἕξεις θεόν. B. 153
Δεινότερον γὰρ οὐκ ἄλλο μητρυιᾶς κακόν. B. 321
Δειλοῦ γὰρ ἀνδρὸς δειλὰ καὶ φρονήματα.
Δέσποινα γὰρ γαμοῦντι νυμφίῳ γυνή.

126 *Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.*
Τὸν δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον. B. 443
Δαίμων ἐμαυτῷ γέγονα γήμας [πλουσίαν.] B. 72
129 *Δούλου δὲ χεῖρον οὐδὲν οὐδὲ τοῦ καλοῦ.* B. 166

Διὰ τὰς γυναῖκας πάντα τὰ κακὰ γίνεται.
Δίκαιος ἐὰν ᾖς, τῷ τρόπῳ χρήσῃ νόμῳ. B. 154
Δίκαιος τρόπος ἀδικεῖν οὐ δυνήσεται. B. 155
Δίωκε δόξην καὶ ἀρετὴν, φεῦγε δὲ ψόγον.
Δοῦλος γεγονὼς ἑτέρῳ δουλεύειν φοβοῦ.

---

130 *Ἔπαινον ἕξεις, ἂν κρατῇς ὡς δεῖ κρατεῖν.*
Ἔρως δικαίῳ καρπὸν εὐθέως φέρει.
Ἐσθλῷ γὰρ ἀνδρὶ ἐσθλὰ καὶ διδοῖ θεός. B. 3
Ἔλπιζε τιμῶν τὸν θεὸν πράσσειν καλῶς.
Ἐν ταῖς ἀνάγκαις χρημάτων κρείττων φίλος. B. 515
135 *Ἐλεύθερον φύλαττε τὸν σαυτοῦ τρόπον.* B. 23
Ἐπ' ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν. B. 73
Εὐχῆς δικαίας οὐκ ἀνήκοος θεός. B. 204
Ἐν τοῖς κακοῖς δὲ τὸν φίλον εὐεργέτει. B. 575
Ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε. B. 10
140 *Ἐκ τῶν πόνων τὰ καλὰ αὔξεται βροτοῖς.*
Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται. B. 65
Ἔνεγκε λύπην καὶ βλάβην ἐῤῥωμένως. B. 500
Ἐχθροὺς ἀμύνου μὴ 'πὶ τῇ σαυτοῦ βλάβῃ. B. 210
Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή. B. 471
145 *Ἐφόδιον εἰς τὸ γῆρας αἰεὶ κατατίθου.* B. 88
Ἔλπιζε τιμῶν τοὺς γονεῖς πρᾶξαι καλῶς. B. 101

Ἔρωτα παύει λιμὸς ἢ χαλκοῦ σπάνις.
Εὔτακτον εἶναι τἀλλότρια δειπνοῦντα δεῖ. B. 465
Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν. B. 438
150 Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶσι δ' οὔ.
Ἔνεισι καὶ γυναιξὶ σώφρονες τρόποι.
Ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν. B. 122
Ἐλευθέρου γὰρ ἀνδρὸς τἀληθῆ λέγειν. B. 5
Ἔνιοι κακῶς φρονοῦσι πράττοντες καλῶς. B. 192
155 Ἐχθροῖς ἀπιστῶν οὔποτ' ἂν πάθοις βλάβην. B. 211
Ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους. B. 240
Ἐχθροῦ παρ' ἀνδρὸς οὐδέν ἐστι χρήσιμον.
Εὐκαταφρόνητός ἐστι σιγηρὸς τρόπος. B. 454
Εἷς ἐστι δοῦλος οἰκίας ὁ δεσπότης. B. 167
160 Ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ. B. 566
Ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ, B. 35
ἔνιοι δὲ καὶ μισοῦσι τοὺς εὐεργέτας.
Εἰ μὴ φυλάσσεις μίκρ', ἀπολεῖς τὰ μείζονα. B. 448
Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει. B. 315
165 Εὔχου δ' ἔχειν τι, κἂν ἔχῃς, ἕξεις φίλους. B. 516
Ἔστιν τὸ τολμᾶν, ὦ φίλ', ἀνδρὸς οὐ σοφοῦ. B. 472
167 Ἐν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις. B. 555

Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον. B. 549
Εὑρεῖν τὸ δίκαιον πανταχοῦ οὐ ῥᾴδιον.
Ἔστιν Δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ. A.
Ἐλεεινότατόν μοι φαίνεται ἀτυχία φίλου.
Ἐκ τῶν γυναικῶν ὄλλυται κόσμος μέγας.

Ἔστι κἀν κακοῖσιν ἡδονῆς τι μέτρον. G. 54
Εὔπειστον ἀνὴρ δυστυχὴς καὶ λυπούμενος. G. 58

Ζήσεις βίον ἄριστον, ἂν θυμοῦ κρατῇς. B. 356
Ζήτει σεαυτὸν, καλλίστην εὐδοξίαν.
170 Ζήτει σεαυτῷ σύμμαχον τῶν πραγμάτων.
Ζῶμεν πρὸς αὐτὴν τὴν τύχην οἱ σώφρονες.
Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα. B. 50
Ζῆθι προσεχόντως, ὡς μακρὰν ἐγγὺς βλέπων.
Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα. B. 4
175 Ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος. B. 225
Ζῆν βουλόμενος μὴ πράττε θανάτου ἄξια. B. 213
Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
Ζήτει συναγαγεῖν ἐκ δικαίων τὸν βίον. B. 263
Ζευχθεὶς γάμοισιν οὐκ ἔτ' ἔστ' ἐλεύθερος. B. 74
180 Ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους. B. 125
Ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων. B. 124

Ζῶμεν ἀλογίστως μὴ προσδοκοῦντες θανεῖν.

Ζῆν ἡδέως οὐκ ἔστιν αργὸν καὶ κακόν. G. 66
Ἢ ζῆν ἀλύπως, ἢ θανεῖν εὐδαιμόνως. B. 226
185 Ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει. B. 439
Ἦθος πονηρὸν φεῦγε καὶ κέρδος κακόν. B. 264
Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν. B. 456
Ἥδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν. B. 421
Ἥδιστόν ἐστιν εὐτυχοῦντα νοῦν ἔχειν. B. 367
190 Ἢ λέγε τῆς σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε. B. 455

Ἥξει τὸ γῆρας πᾶσαν αἰτίαν φέρον. B. 89
Ἡ φύσις ἑκάστου τοῦ γένους ἐστὶν πατρίς. B. 578
Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ. B. 75
Ἡ ἁρπαγὴ μέγιστον ἀνθρώποις κακόν.
195 Ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ. B. 579
Ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος. B. 602
Ἢ μὴ γάμει τὸ σύνολον, ἢ γαμῶν κράτει.
Ἡ πατρὶς, ὡς ἔοικε, φίλτατον βροτοῖς.
Ἡ γὰρ παράκαιρος ἡδονὴ τίκτει βλάβην. B. 219
200 Ἡδύ γε δικαίους ἄνδρας εὐτυχεῖς ὁρᾷν.
Ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος. B. 582
Ἡ γλῶσσα πολλῶν ἐστὶν αἰτία κακῶν. B. 457
Ἡδὺ σιωπᾷν ἢ λαλεῖν ἃ μὴ πρέπει.
Ἡ γὰρ σιωπὴ τοῖς σοφοῖς ἐστ' ἀπόκρισις. B. 462
205 Ἡ γὰρ σιωπὴ μαρτυρεῖ τὸ μὴ θέλειν.
206 Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά.

Ἢ μὴ ποίει τὸ κρυπτὸν, ἢ μόνος ποίει. B. 275
Ἡ κοιλία πολλὰ χωρεῖ, ὀλίγα δὲ συμφέρει. B. 179
Ἡ πενία δ' ἀγνώμονας τοὺς πολλοὺς ποιεῖ. B. 405
Ἡ γλῶσσα ἁμαρτάνουσα τἀληθῆ λέγει. B. 6

---

207 Θεὸν σέβου, καὶ πάντα πράξεις ἐνθέως. B. p. 343
Θεὸν προτίμα, καὶ δεύτερον τοὺς σοὺς γονεῖς.
Θάλασσα καὶ πῦρ καὶ γυνὴ τρίτον κακόν. B. 128
210 Θέλων καλῶς ζῆν μὴ τὰ τῶν φαύλων φρόνει.
Θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή. B. 125
Θεὸς πέφυκεν ὅτι οὐδὲν δρᾷ κακόν.
Θησαυρός ἐστι τοῦ βίου τὰ πράγματα.

Θέλομεν καλῶς ζῆν πάντες, ἀλλ' οὐ δυνάμεθα. B. 215

215 *Θεὸς συνεργὸς πάντα ποιεῖ ῥαδίως.* B. 234

Θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς. B. 103

Θορύβους ὀχλώδεις φεῦγε καὶ παροινίας.

Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.

Θεοῦ πέφυκεν δῶρον εὐγνώμων τρόπος.

220 *Θεὸς δὲ τοῖς ἀργοῖσιν οὐ παρίσταται.*

Θνητὸς πεφυκὼς μὴ φρόνει ὑπέρθεα. B. 202

Θεράπευε τὸν δυνάμενον, ἄνπερ νοῦν ἔχῃς.

223 *Θυμῷ χαρίζου μηδὲν, ἄνπερ νοῦν ἔχῃς.*

Θυσία μεγίστη τῷ θεῷ τὸ εὐσεβεῖν.

225 *Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.* B. 237

Θηρῶν ἁπάντων ἀγριωτέρα γυνή. B. 127

Θνητὸς πεφυκὼς τοὐπίσω πειρῶ βλέπειν. B. 309

Θεοῦ γὰρ χωρὶς οὐδεὶς εὐτυχεῖ βροτῶν. B. 235

229 *Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.* B. 238

Θεὸς δ' ἁμαρτάνουσιν οὐ παρίσταται.

Θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι. B. 348

Θυμοῦ κρατῆσαι κἀπιθυμίας καλόν. B. 357

---

230 *Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.* A.

Ἴσος ἴσθι πᾶσιν, κἂν ὑπερέχῃς βίῳ. B. 317

Ἰσχυρότερον δέ γ' οὐδέν ἐστι τοῦ λόγου. B. 285

Ἰσότητα τίμα, πλεονέκτει μηδένα.

Ἱστοὶ γυναικῶν ἔργα, κοὐκ ἐκκλησίαι. B. 129

235 *Ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.* B. 130

Ἱκανὸν τὸ νικᾷν ἐπὶ τῶν ἐλευθέρων.

Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς. B. 519

Ἴσον ὀργῇ θάλασσα καὶ κακὴ γυνή.

Ἰσχυρὸν ὄχλος ἐστὶν, οὐκ ἔχει δὲ νοῦν. B. 146
Ἴσος ἴσθι κρίνων καὶ φίλους καὶ μὴ φίλους.
Ἴσον λεαίνης καὶ γυναικὸς ὠμότης. B. 131
Ἰατρὸς ἀδόλεσχος νοσοῦντι πάλιν νόσος. A.
Ἴσον θεῷ σου τοὺς φίλους τιμᾷν θέλε. B. 518
Ἱκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς. B. 104
Ἰδών τι χρηστὸν μηδὲν ἐκφάνῃς ὅλως.
Καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον. B. 247
Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός. B. 440
Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς. B. 381
Κρίνει φίλους ὁ καιρὸς, ὡς χρυσὸν τὸ πῦρ. B. 520
Κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία. A.
Κόλαζε τὸν πονηρὸν, ἄνπερ δυνατὸς ᾖ.
Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν. B. 521
Κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας. B. 501
Καιροῦ τυχὼν γὰρ πτωχὸς ἰσχύει μέγα. B. 250
Κακοῦ μεταβολὴν ἀνδρὸς χρὴ σιωπᾷν.
Καλὸν τὸ γηρᾷν καὶ τὸ μὴ γηρᾷν πάλιν. B. 90
Κάλλιστα πειρῶ καὶ λέγειν καὶ μανθάνειν.
Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε. B. 164
Κάλλιστον ἐν κήποισι φύεται ῥόδον.
Κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ. B. 272
Κέρδος πονηρὸν μηδέποτε βούλου λαβεῖν. B. 265
Κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον. B. 165
Κρεῖττον σιωπᾷν ἐστιν ἢ λαλεῖν μάτην. B. 459
Καλὸν τὸ θνήσκειν οἷς τὸ ζῆν ὕβριν φέρει. B. 228
Κακοῦ γὰρ ἀνδρὸς δῶρον ὄνησιν οὐκ ἔχει. B. 442
Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι. B. 523
Καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται. B. 239

265 Καλὸν τὸ θησαύρισμα κειμένη χάρις. B. 36

Κρεῖττον τὸ μὴ ζῆν ἐστιν ἢ ζῆν ἀθλίως. B. 229

Καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά. B. 382

Καρπὸς δ' ἀρετῆς ἐστιν εὔτακτος βίος. B. 24

Καλὸν δὲ νικᾷν, ὑπερνικᾷν δὲ σφαλερόν.

270 Καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς.

Κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει. B. 263

272 Κακῷ σὺν ἀνδρὶ μηδ' ὅλως ὁδοιπόρει. B. 441

Καλὸν φέρουσι καρπὸν οἱ σεμνοὶ τρόποι. B. 25

Κακὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή, A.
καὶ κτώμεθ' αὐτὰς ὡς ἀναγκαῖον κακόν.

---

273 Λιμὴν εὐτυχίας ἐστὶν ἀνθρώποις τέχνη. B. 467

Λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον. B. 524

275 Λόγοις ἀμείβου τὸν λόγοις πείθοντά σε. B. 287

Λιμὴν πέφυκε πᾶσα παιδεία βροτοῖς. B. 392

Λόγῳ με πεῖσον φαρμάκῳ σοφωτάτῳ. A.

Λόγος διοικεῖ τὸν βροτῶν βίον μόνος. B. 289

Λογισμός ἐστι φάρμακον λύπης μόνος. B. 286

280 Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσον. B. 303

Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν. B. 595

Λιμὴν πλοίου μέν, ἀλυπία δ' ὅρμος βίου. A.

283 Λυπῶν γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος. B. 288

Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ. B. 280

285 Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος. B. 281

Λυποῦντα λύπει, καὶ φιλοῦνθ' ὑπερφίλει. B. 525

Λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν. B. 168

Λύπη παροῦσα πάντοτ' ἐστὶν ἡ γυνή. B. 133

Λόγον παρ' ἐχθροῦ μήποθ' ἡγήσῃ φίλον. B. 212

290 *Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος.*
291 *Λέοντι συζῆν ἢ γυναικὶ συμβιοῦν.* B. 134

Λάλει μέτρια, καὶ μὴ λάλει ἃ μή σε δεῖ.

---

292 *Μισῶ σοφιστὴν, ὅστις οὐχ αὑτῷ σοφός.* B. 569
Μὴ κρῖν' ὁρῶν τὸ καλλος, ἀλλὰ τὸν τρόπον. B. 258
Μεστὸν κακῶν πέφυκε φορτίον γυνή. B. 135
295 *Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.* B. 415
Μιμοῦ τὰ σεμνὰ, μη μιμοῦ κακοὺς τρόπους.
Μισθὸς διδάσκει γράμματ', οὐ διδάσκαλος.
Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν. B. 551
Μία μέν ἐστιν ἀρετὴ τὸ ἄτοπον φεύγειν ἀεί.
300 *Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει.*
Μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον. B. 526
Μακαριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν. B. 367
Μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής. B. 528
Μὴ σπεῦδ' ἃ μὴ δεῖ, μηδ' ἃ δεῖ σπεύδειν μένε.
305 *Μὴ τοὺς κακοὺς οἴκτειρε πράξαντας κακῶς.*
Μέγιστόν ἐστιν ὀργῆς φάρμακον λόγος. B. p. 346
Μετὰ τὴν δόσιν τάχιστα γηράσκει χάρις. B. 37
Μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν. B. 57
Μένει δ' ἑκάστῳ τοὖθ' ὅπερ μέλλει παθεῖν. B. 310
310 *Μακάριος ὅστις μακαρίοις ὑπηρετεῖ.* B. 27
Μακρὸς γὰρ αἰὼν πολλὰς συμφορὰς ἔχει. B. 584
Μισῶ πονηρὸν, χρηστὸν ὅτ' εἴπῃ λόγον.
Μὴ λοιδόρει γυναῖκας μηδὲ νουθέτει.
Μέμνησο νέος ὢν, ὡς γέρων ἔσῃ ποτέ. B. 234
315 *Μήποτε λάβῃς γυναῖκα εἰς συμβουλίαν.*

Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺς πένης γένῃ. B. 422
317 *Μέγ᾽ ἐστὶ κέρδος, ἢν διδάσκεσθαι μάθῃς.*

Μισῶ πένητα πλουσίῳ δωρούμενον. B. 403
Μηδέν ποτε κοινοῦ τῇ γυναικὶ χρήσιμον.
Μὴ γάμει γυναῖκα κοὐκ ἀνοίξεις τάφον.
Μεγάλη τυραννὶς ἀνδρὶ τελοῦσα καὶ γυνή.

Μὴ πρὸς τὸ κέρδος ἀεὶ πειρῶ βλέπειν. G. 135.
Μαστιγίας ἔγχαλκος ἀφόρητον κακόν. G. 137.

---

318 *Νόμῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.* B. 331
Νόμιζε κοινὰ πάντα τἀτυχήματα. B. 176
320 *Νόον γάρ ἐστι κρεῖττον ἢ σιγὴν ἔχειν.* A.
Νυμφη δ᾽ ἄπροικος οὐκ ἔχει παῤῥησίαν. B. 78
Νόμοις ἕπεσθαι τοῖς ἐγχωρίοις καλόν.
Νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε. B. 325
Νέμεσιν φυλάσσου μηδὲν ὑπερφρονῶν.
325 *Νέον δεῖ σιγᾷν, οὐ λαλεῖν ἃ μὴ πρέπει.* B 326
Νικᾷ γὰρ αἰεὶ διαβολὴ τὰ κρείττονα. B. 603
Νόμιζ᾽ ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους. B. 529
Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.
Νόμιζε σαυτῷ τοὺς γονεῖς εἶναι θεούς. B. 105
330 *Νόμων ἔχεσθαι πάντα δεῖ τὸν σώφρονα.*
Νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς. B. 358
Νόμιζε γήμας δοῦλος εἶναι διὰ βίου. B. 77
333 *Νόσον δὲ κρεῖττόν ἐστιν ἢ λύπην φέρειν.* B. 304

Νέος ὢν ἀκούειν τῶν γερόντων θέλε. B. 322
Νὺξ μὲν ἀναπαύει, ἡμέρα δ' ἔργον ποιεῖ.
Νικᾷ παλαιὰς χάριτας ἡ νέα χάρις.
Νέοις τὸ σιγᾷν κρεῖττόν ἐστι τοῦ λαλεῖν.
Νέος ἐὰν πονήσῃς, γῆρας ἕξεις εὐθαλές.

---

334 *Ξένους πένητας μὴ παραδράμῃς ἰδών.* B. 334
335 *Ξένοισι πιστοῖς πιστὸς ὢν γίγνου φίλος.* B. 337
Ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ. B. 335
Ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν. B. 339
Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος. B. 290
Ξένος ὢν ἐπακολούθει τοῖς ἐγχωρίοις νόμοις.
340 *Ξενία χαλεπὴ κατὰ πολλοὺς τρόπους.*
Ξενίας ἀεὶ φρόντιζε, μὴ καθυστέρει. B. 336
Ξένον ἀδικήσεις μηδέποτε καιρὸν λαβών. B. 338
Ξυνετὸς πεφυκὼς φεῦγε τὴν πανουργίαν. B. 574
Ξένος ὢν ἀπράγμων ἴσθι, καὶ πράξεις καλῶς. B. 340
345 *Ξένους ξένιζε, καὶ σὺ γὰρ ξένος γ' ἔσῃ.* B. 344
Ξένῳ δὲ σιγᾷν κρεῖττον ἢ κεκραγέναι. B. 342
347 *Ξένος πεφυκὼς τοὺς ξενοδόχους σέβου.* B. 343

---

357 *Ὁ γράμματ' εἰδὼς καὶ περισσὸν νοῦν ἔχει.* B. 383
358 *Ὁ σοφὸς ἐν ἑαυτῷ περιφέρει τὴν οὐσίαν.* B. 384
359 *Οὐκ ἔστιν αἰσχρὸν ἀγνοοῦντα μανθάνειν.*
356 *Ἔλπιζε δ' αὐτὸν πάλιν εἶναι σοῦ φίλον.*
348 *Οὐκ ἔστιν οὐδεὶς ὅστις οὐχ αὑτῷ φίλος.* B. 544
349 *Οὐκ ἔστιν αἰσχρὸν ἀγνοοῦντα μανθάνειν.*
350 *Οὐκ ἔσθ' ὑγείας κρεῖττον οὐδὲν ἐν βίῳ.* B. 489

Οὐκ ἔστι χεῖρον λύπης ἀνθρώποις κακόν. B. 305
Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται. B. 362
Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον. B. 387
Οὐκ ἔστι σιγᾷν αἰσχρὸν, ἀλλ' εἰκῇ λαλεῖν.
355 *Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ 'κφάνῃς φίλου.* B. 531
359 *Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενός.* B. 52
360 *Ὁ πολὺς ἄκρατος ὀλίγ' ἀναγκάζει φρονεῖν.* B. 308
Ὁμιλίας δὲ τὰς γεραιτέρων φίλει. B. 91
Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται. B. 385
Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου. B. 532
Οὐδεὶς ὃ νοεῖς μὲν οἶδεν, ὃ δὲ ποιεῖς βλέπει. B. 571
365 *Ὃν γὰρ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος.* B. 230
Ὅμοια πόρνη δάκρυα καὶ ῥήτωρ ἔχει.
Οἶνος γὰρ ἐμποδίζει . . . .
Οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη. B. 479
Ὀργὴ δὲ πολλοὺς δρᾷν ἀναγκάζει κακόν. B. 359
370 *Ὁ μηδὲν εἰδὼς οὐδὲν ἐξαμαρτάνει.* B. 11
Οὐδεὶς ἐπιχαίρει τοῖς δυστυχηκόσι.
Ὅτ' εὐτυχεῖς, μάλιστα μὴ μέγα φρόνει. B. 492
Ὅπλον μέγιστόν ἐστιν ἡ 'ρετὴ βροτοῖς. B. 28
Ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός. A.
375 *Οὐ χρὴ φέρειν τὰ πρόσθεν ἐν μνήμῃ κακά.*
Οὐκ ἔστι πενίας . . . .
377 *Ὁ μὴ γαμῶν ἄνθρωπος οὐκ ἔχει κακά.* B. 79
Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων. B. 386
Οὐδεὶς πῦρ εἰς χρήματα διδοὺς ἐπαύσατο.

Ὁ συκοφάντης ἐστὶν ἐν τοῖς πέλας λύκος. G. 154.
Ὅρκον δὲ φεῦγε καὶ δικαίως κἀδίκως.
G. 157. B. 3

378 Πολλοὺς ὁ πόλεμος, οὐκ ὀλίγους ἀπώλεσεν.
Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
380 Πολλοὺς τρέφειν εἴωθε τἀδικήματα.
Πολλοὺς ὁ καιρὸς οὐκ ὄντας ποιεῖ φίλους. B. 252
Πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ. B. 197
Πράττε τὰ σαυτοῦ, μὴ τὰ τῶν ἄλλων φρόνει.
Πολλῶν ὁ καιρὸς γίγνεται διδάσκαλος. B. 251
385 Πενίας οὐδέν ἐστι βαρύτερον φορτίον. B. 404
Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ. B. 106
Πατὴρ οὐχ ὁ γεννήσας, ἀλλ' ὁ θρέψας σε.
Πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον. B. 536
Πένης ὑπάρχων μὴ φρόνει τὰ πλουσίων.
390 Πενία δ' ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ. B. 408

Πονηρός ἐστι πᾶς ἀχάριστος ἄνθρωπος. G. 162.
Παθητός ἐστιν πᾶς τις εὐπροσήγορος. G. 160.
Πάντως γὰρ ὁ σώφρων εὐτελείας ἀνέχεται. G. 166.

---

391 Ῥοπή ἐστιν ὁ βίος ἡμῶν, ὥσπερ ὁ ζυγός.
Ῥῆμα παράκαιρον τὸν ὅλον ἀνατρέπει βίον. B. 293
393 Ῥαθυμίας περίφευγε καὶ κακοὺς φίλους.

Ῥᾷον βίον ζῇς, εἰ γυναικὸς ἀπέχει. G. 170. B. 80
Ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος. G. 171. B. 139

---

394 Σέβου τὸ θεῖον, μὴ 'ξετάζων, πῶς ἔχει.
395 Σοφοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ σοφός. B. 388

Σοφίαν ἄσκει, καὶ μαθήσῃ ἃ μὴ νοεῖς. B. 389
Σοφία δὲ πλούτου κτῆμα τιμιώτερον. B. 390
Σοφὴ σοφῶν γὰρ γίγνεται συμβουλία. B. 67
Σιγᾶν ἄμεινον ἢ λαλεῖν ἃ μὴ πρέπει. B. 459
400 Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον. B. 29

Σοφὸς γὰρ οὐδεὶς εἰς τὰ πάντα προσκοπεῖ.
G. 176. B. 573
Σοφῷ παρ' ἀνδρὶ πρῶτος εὑρέθη λόγος.
G. 177. B. 295
Σὺν τοῖς φίλοισιν εὐτυχεῖν ἀεὶ θέλε. G. 178.

---

401 Τὸ δὴ τρέφον με τοῦτ' ἐγὼ λέγω θεόν.
Τίμα τὸ γῆρας, οὐ γὰρ ἔρχεται μόνον. B. 95
Τερπνὸν κακὸν πέφυκεν ἀνθρώποις γυνή. B. 140
Τῆς ἐπιμελείας πάντα δοῦλα γίγνεται. B. 556
405 Τύχη τέχνην ὤρθωσεν, οὐ τέχνη τύχην. B. 468
Τὰ μικρὰ κέρδη μεγάλας ζημίας φέρει. B. 268
407 Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν. B. 198

Τέθνηκεν ἀνθρώποισιν ἅπασα χάρις.
G. 185.
Τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.
G. 191.

---

408 Ὑπερηφανία μέγιστον ἀνθρώποις κακόν.
Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμιον. B. 184
410 Ὕβρις κακὸν μέγιστον ἀνθρώποις ἔφυ.
Ὑφ' ἡδονῆς φρόνιμος οὐκ ἀναλίσκεται.
Ὑγίεια καὶ νοῦς ἀγαθὰ τῷ βίῳ δύο. B. 489
415 Ὕπνος πέφυκεν ἀνθρώπων σωτηρία. B. 497

Ὕπνος δὲ πάσης ἐστὶν ὑγίεια νόσου.
G. 196. B. 495

414 Φίλον δι᾽ ὀργὴν ἐν κακοῖσι μὴ προδῷς. B. 537
415 Φίλος με βλάπτων οὐδὲν ἐχθροῦ διαφέρει. B. 540
Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥάδιον. B. 580
Φεῦγ᾽ ἡδονὴν φέρουσαν ὕστερον βλάβην. B. 221
Φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ. B. 543
419 Φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους. B. 169

Φίλων τρόπους γίγνωσκε, μὴ μίσει δ᾽ ὅλως.
G. 201. B. 539

420 Χωρισμὸς φίλων δοκιμαστήριον φιλίας.
Χρυσὸς δ᾽ ἀνοίγει πάντα κ᾽ Ἀΐδου πύλας. B. 428
Χθὼν πάντα κομίζει καὶ πάλιν κομίζεται.
Χειμὼν κατ᾽ οἴκους ἀνδράσιν κακὴ γυνή. B. 144
424 Χωρὶς γυναικὸς ἀνδρὶ κακὸν οὐ γίγνεται.

Χεὶρ χεῖρα νίπτει, δάκτυλοι δὲ δακτύλους.
G. 208. B. 59
Χρόνος ἀμαυροῖ πάντα, καὶ λήθην ἄγει.
G. 209. B. 594

425 Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον. B. 600
Ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα. B. 31
Ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς. B. 576
Ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος. B. 298

Ψυχῆς ἐπιμελοῦ τῆς σαυτοῦ καθὰ δύ-
νασαι, B. 30

430 ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον.

431 Ψευδὴς διαβολὴ τὸν βίον λυμαίνεται. B. 599

Ψεῦδος δὲ μισεῖ φρόνιμός τε καὶ σοφός.
G. 212. B. 598

---

432 Ὡς ἡδὺ κάλλος, ὅταν ἔχῃ νοῦν σώφρονα. B. 259

Ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν. A.

Ὡς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρῇ. B. 393

435 Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

Ὡς πάντα τιμῆς ἐστὶ πλὴν τρόπου κακοῦ. B. 447

Ὡς ἔστ' ἄπιστος ἡ γυναικεία φύσις. B. 145

438 Ὡς αἰσχρὸν ἀνθρώποισιν ἡ ἀπληστία.

Ὡς χαρίεις ἐστὶν ἄνθρωπος, ὅταν υἱὸς ᾖ. G. 213

Ὡς ἡδὺ τὸ ζῆν μὴ φθονουμένης τύχης.
G. 216. B. 217

Ὡς αἰσχρὸν εὐ. . . . . G. 217

Τέλος.

ANIMADVERSIONES.

Ad Fab. I. Codex ἐπὶ τῆς ἀμύνης. Fl. ἐπὶ τῇ ἀμύνῃ. E Neveleto supplevi.

δίκην ὑπελθεῖν. Huschke dedit δίκῃ ὑπὸ. . Coray supplevit δίκῃ ὑπὸ θεοῦ. Reiskianam scripturam dedi. Flor. ὁ θεὸς τῆς — δίκην περιέσχε — σπλάγχνον ἔμπυρον.

πτῆναι ἀτελεῖς. Ita Flor. πτηνοὶ Aug. ἀπτῆνες ἔτι τυγχάνοντες, ὀπτηθέντες κατέπεσον Nev.

Ad Fab. II. πολλοῦ ῥοίζου. Flor. τοῦ interserit: deinceps αὐτοῦ τῶν ὀνύχων ἐν τοῖς ἐκείνου μαλοῖς. C. Aug. μαλίοις habet.

ἕως. Fl. ἕως οὗ: deinceps τί εἴη. In epimythio omnes minus integri libri praeter Aug.

Ad Fab. III. Initio βοηθησάτων Codex dabat: abhinc οἰκέτην, minus recte quam Nev. Deinceps κατέασε habet. In extremo τὰ ᾠὰ e Nev. inserui.

Ad Fab. IV. αὐτὴ πληρῶσαι. Codex αὔτη. Deinceps ἐπιτυχὼν dabat, Flor. ὑπολαβὼν δὲ ὁ ἱέραξ ἔφη, ἀ. ἐ. ἄφρων ἂν εἴην — παρείς. In epimythio Fl. πραγμάτων rectius omittit.

Ad Fab. V. τὸ χρέως. Articulum e Fl. addidi: deinceps Codex αὐτὸν ἀνασχέσθαι — ὃν ὃν μόνον dabat. Correxi e Flor. μόνην de coniectura.

τοῖς μὲν γάρ. Particulam γὰρ e Fl. inserui. Aug. praeterea μυστ. ἐστὶ θήλεια dabat.

Ad Fab. VI. Quae vulgo extat, nullo modo comparanda est cum hac Augustana nec in verbis nec in dispo-

sitione rerum. In epimythio Codex vitiosa dabat *μὴ δὲ τούτων.* Deinceps conieci *ἐνασμενίζεσθαι τὰς φιλίας — ἑτέρους φιλιάσωσιν, ἐκείνους προκρινοῦσιν.* Verba ipsa non optima moneta sunt percussa.

Ad Fab. VII. *ὄρνις νοσοῦσι* Codicis e Fl. correxi. Plutarchus de amore fraterno §. 19. *ἀλεκτορὶς πρὸς τὴν αἴλουρον — καλῶς, εἶπεν, ἂν σὺ ἀποστῇς.* ubi ante Wyttenb. erat *τὸν αἴλ. πυνθανομένην.*

Ad Fab. VIII. *μυθοποιὸς* dabat Aug. et *ναυπηγεῖον — σκοποῦντων.* Correxi e Vaticano apud Furiam, qui tamen *σκοποῦντων* similiter habet: rectum e Gallico libro dedit Hudsonus.

τὸ τῆς γῆς — ἀναδεῖξαι. Vatic. omisso *τῆς* habet *ἀποδεῖξαι.* Deinceps Aug. *παρήνεσεν — ἐκροφήται.* Vterque *ἐπὶ τρεῖς,* Gallicus *δὶς ἢ τρὶς ἐκροφῆσαι.*

ἐξέφηνεν. Ita Vatic. *ἐξέφαγεν* Aug. *ἐξέβανε* Gall. unde *ἐξέφανεν* effecit Coray.

δόξῃ αὐτὴν καὶ τρίτον Aug. correxi e Vatic. Deinceps *ἡμῶν* Aug. Aristoteles Meteorol. 2, 3. *Αἴσωπον πορθμεῖ τινι ὀργιζόμενον μυθολογῆσαι, ὡς δὶς μὲν ἡ Χάρυβδις ἀναῤῥοφήσασα τὸ μὲν πρῶτον τὰ ὄρη ἐποίησε φανερά, τὸ δεύτερον τὰς νήσους, τὸ δὲ τελευταῖον ῥοφήσασα ξηρὰν (τὴν θάλασσαν) ποιήσει πάμπαν.*

Ad Fab. IX. *φρέαρ βαθὺ ἔμενε — δίψει — χρηστὸν εἴη καὶ διειδὲς πάνυ, καταβῆναί τε παρῄνει* Flor. *αὐτὸν παρῄνει* Aug. correxi. In Neveleti Fab. 284. *κατῆλθεν εἰς βαθὺν κρημνὸν ὕδωρ* scribendum censeo *βαθύκρημνον ὕδωρ,* iunctis vocibus. Ceterum cum hac ipsa Neveletiana magis convenit F. 10. Syntipae, ubi Lepus et Vulpes nominantur.

τὴν δίψαν. Articulum addidi e Fl. et pro *τείχει* indidem *τοίχῳ* scripsi.

δὴ καταβεβήκεις, πρὶν ἤ. Flor. *οὐ πρ. καταβέβηκας, πρὶν ἂν — διεσκέψω.* Tempus neutrum verbi *κατάβημι* placet. Huschke p. 45. edidit initio *ἐπ' ἀνάγκης,* quod

Coray mutatum voluit in ἐξ ἀνάγκης aut in id ipsum, quod Reiskianum apographum habet. Ceterum huc pertinet epimythium e Codice Coisliniano descriptum apud Tyrwhittum p. 68. nomine Babrii praescripto.

Ad Fab. X. Tria exemplaria in paucis discrepant. Sic μήπω — αὐτῷ συνήντησε Nev. ὑπ. αὐτῷ Fl. καὶ ἀποθανεῖν utrumque. περιτυχοῦσα ἐφοβήθη μὲν, ἀλλ' οὐχ ὡς τὸ πρότερον Flor. ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφ. μὲν, οὐ μὴν ὡς τ. πρ. Nev. quae scriptura elegantior videtur. τοῦτον θεασαμένη, οὕτως Nev. αὐτὸν addit Fl. Copulam καὶ post ὡς omisit Fl. Tria denique προσελθοῦσα habent, διαλεχθῆναι Nev. et Flor.

Ad Fab. XI. Ineptissimam scripturam Nev. et Flor. ἁλιευτικῆς ἄπειρος praeter librum Aug. convincit Herodoti I, 141. ἄνδρα αὐλητὴν ἰδόντα ἰχθῦς ἐν τῇ θαλάσσῃ et Aphthonii ἀνὴρ ἁλιεὺς ὁμοῦ καὶ αὐλεῖν ἐπιστάμενος.

τοὺς αὐλούς. Articulum addidi ex Aphthonio. τοὺς et τὰ omittunt Nev. et Flor. Sequens προβλήματος suspicor fuisse προβλῆτος.

ἦδε. Nev. et Flor. ηὔλει cum Herodoto. ᾄδειν convenit citharoedo vel auloedo.

τὸ ἀμφίβληστρον. Articulus in Aug. propter verbum antecedens excidit. Deinceps πηδῶντας Nev. Flor. παλλομένους Herodotus habet.

Ad Fab. XII. περιτυχοῦσα εἶπε, καὶ τόσον ἐγώ σου καλλίων, ἥτις Nev. dedit. Coray Florentinae et Nevel. scripturam confudisse videtur p. 96. Plutarchus bis fabulam laudans ἀλώπηξ περὶ ποικιλίας δικαζομένη, altero loco εἰς ἀγῶνα ποικιλίας καταστᾶσα habet.

Ad Fab. XIII. ἰχθὺν ὀλίγον. Nev. τῶν μὲν ἰχθύων εὗρον ὀλίγους, λίθον δ' ἐν αὐτῇ παμμεγέθη. Flor. ἰχθύας μ. εὗ. ὀλίγους, λίθον δὲ μέγιστον ἐν τῇ σαγήνῃ ἀνήγαγον, οἱ δὲ ἁλιεῖς οὐ μετρ.

οὐχ οὕτω μᾶλλον — ὅσῳ καὶ τὰ ἐναντία. Ita Aug. οὐ τοσοῦτον ἐπὶ — ὅσον ὅτι καὶ — προσαπειλήφασιν Nev.

et Flor. praeterquam quod hic καὶ ἐν. προσειλήφασιν habet, et in fine προσηδυνθέντας, quod e Nev. correxit Coray. Noster supra Fab. I. οὐ μᾶλλον ἐπὶ — ὅσον ἐπὶ τῷ ἀπόρῳ.

In epimythio diversa est utriusque exempli sententia a nostro, ubi Codex ἀμετάβλητον dabat.

Ad Fab. XIV. Huschke edidit p. 25. πολλὰ δὲ, ubi Reiskianum apographum dabat πολλὸν. Idem verba ὁ πίθηκος post ἀνεστέναξεν inseruit: postea μνήματα — ἀλλ᾽ οὖν — ψεῦσον quasi Codicis scripturam posuit. Correxit Coray, qui σε post ἀναστὰς inseruit. Huc pertinet fragmentum Babrii apud Suidam v. Πίθηκος:

Κερδοῖ πίθηκος φησὶν, ἣν ὁρᾷς στήλην,
ἐμοὶ πατρῴη τ᾽ ἐστὶ κἄτι παππῴη.

correctum ab Huschkio: nam vulgo Κερδῷ πιθήκῳ scriptum extat. Ceterum ἑκατέρων διεξιόντων de duobus non recte dici videtur.

Ad Fab. XV. Babrii fragmentum e Suida et Etymol. M. emendatum posuit Tyrwhitt p. 50. hoc:

Ὡς δ᾽ οὐκ ἐφικνεῖτ᾽, ἀλλ᾽ ἔκαμνε πηδῶσα,
οὐδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρης,
παρῆλθεν οὕτω βουκολοῦσα τὴν λύπην·
Ὄμφαξ ὁ βότρυς, μὴ πέπειρος, ὡς ᾤμην.

Ad Fab. XVI. ἐπ᾽ ὠφελείαν Aug. dabat, rectum N. et Flor. Deinceps Aug. ἐγείρει. Flor. διεγείρει. Nev. ὡς ἐγείρεσθαι.

διαπορηθεὶς. Flor. ἀποκριθεὶς — ἐὰν σὺ ἀφορμῶν πολλῶν εὐπορήσῃς, ἐγὼ τέως ἄδειπνος οὐ μενῶ. Nev. ἀλλ᾽ εἰ σύ γε πολλῶν εὐπορεῖς — ἀπολογιῶν, ἔγωγε μέντοι ἄτροφος οὐ μενῶ. Unde suspicor, in Aug. scriptura legi posse ἔγωγε τέως ἄδειπνος οὐ καθεδοῦμαι.

Ad Fab. XVII. προσαγαγεῖν. Flor. περιαγαγεῖν — ὑπολαβοῦσα — ὦ φίλη — συνεβούλευες. Indidem negationem μὴ post ἀλλ᾽ εἴ σοι inserui. In epimythio utrobique turbatum fuit. Flor. habet Ὁ μῦθος δηλοῖ, ὅτι οὐ-

τος ὁ λόγος ἁρμόζει ἐκείνοις, οἵ. ubi abundant verba Ὁ μ. δ. ὅτι, aut ex alio epimythio supersunt: in nostro abundat verbum δηλοῖ; quare seclusi.

Ad Fab. XVIII. αὐξυνθείσης Aug. dabat. ὅταν αὐξυνθῶ Nev. Deinceps ἂν addidi e Fl. ubi est μωρὸς ἂν εἴην. Similiter Nev. Postea Aug. τὸ ἐμπαρὸν dabat, denique μικρὸν εἴη.

Ad Fab. XIX. καὶ τοῦ προκειμένου. Haec in neutro exemplo sunt, sed Nev. σὺ χεῖρον διέθηκας, Flor. χεῖρόν μοι ἐχρήσω. Intelligi τὸν φραγμὸν patet.

Ad Fab. XX. Verba maximi momenti καὶ τὸ τελευταῖον — πατέρων omisit Fl. exemplum. In Nev. supersunt verba ὡς γεγυμνασιαρχηκότων. In seqq. Nev. ὡς ἐκ παλαιῶν ἐτῶν εἶ γεγυμνασμένος. Flor. ὅτι ἀπὸ πολλῶν ἐτῶν εἶ γεγ. Quae ad illustrandam rem ipsam annotavit Huschke p. 25. ubi edita extat fabula, equidem non intelligo. Heusingeri interpretationem probasse videtur Lessingius in Collectan. Eschenburgii T. I. p. 457.

Ad Fab. XXI. ἠθύμουν ἐντός. Postremam Codicis vocem cum Reiskio delevi, e sequentibus natam.

Ad Fab. XXII. δρυτόμον. In Aug. initio suprascriptum ο reperi, reliquis in locis scripturam nostram habet. In epimythio Codicis ἐπαγγέλλουσιν e Nev. et Flor. correxi. Geminam narrationem de cervo leonem fugiente e Maximo Tyrio Or. 33. comprararunt interpretes.

Ad Fab. XXIII. In Aug. I. erat ἀτιθάσσῳ: alter rectum habet. Flor. ἐν τῇ οἰκίᾳ rectius habet, ubi Aug. cum Nev. ἐπὶ τῆς οἰκίας. Deinceps Codex omisit quaedam ad sententiam necessaria. Nev. male κατὰ μικρὸν dat, Flor. μικρὸν δὲ ὅσον ὑποχωρήσας. In epimythio Flor. ῥαδίως φέρουσι praefero, quocum Nev. consentit.

Ad Fab. XXIV. Hanc ipsam minus emendatam posuit Neveletus: pessimam habet Florentinus et Vossianus a Coraio positam. Babrii fragmentum servavit Suidas v. ῥωγαλέον et v. ἕωλος hoc:

ἐν τῇ δ' ἔκειτο ῥωγὰς αἰπόλων πήρα,
ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης.

Dio Chrys. Or. 47. p. 232. ὥσπερ ἡ ἀλώπηξ καταφαγοῦσα τὰ κρέα οὐκ ἐδύνατο ἐξελθεῖν ἐκ τῆς δρυὸς διὰ τὸ ἐμπλησθῆναι. Ceterum epimythium minus aptum narrationi visum Lessingio, qui praeferebat Ignatii hoc: Τὰ ὀλέθρια πάθη ζημίαις ἴσαις θεραπεύονται. ubi vulgatum ζημίας ἴσας correxit Coray.

Ad Fab. XXV. Convenit plane verbis etiam Neveletiana, sed omisit haec: παρεγένετο εἴς τι ἀκρωτήριον καὶ θεασαμένη πέτραν ἐπὶ θάλασσαν (ita enim Codex) ἐνεοττοποιεῖτο ἐνταῦθα. Nimis breviter enim μέλλουσα, ἐνεοττοποιήσατο habet.

καὶ ταύτην ἐπικλύσασαν. Ita Nev. καὶ κατ' αὐτὴν ἐπικυκλώσασαν Aug. habet, et in epimythio τυγχάνουσι πολλῷ.

Ad Fab. XXVI. In paucis variavit Codex Nev. Compararunt interpretes Aristophanis Equitum versus 864. et sequentes.

Ad Fab. XXVII. διελθοῦσα minus bene convenit quam Nev. et Flor. εἰσελθοῦσα et ἐλθοῦσα. Deinde ὑποκριτοῦ Nev. ineptissime κιθαρῳδοῦ habet Flor.

Ad Fab. XXVIII. βωμοῦ κατεσκήνωσεν εἶπον Aug. vitio manifesto. Nev. ὡλοκαύτωσεν, Flor. ἐπὶ τοῦ βωμοῦ κατέκαυσεν, εἰπών.

ἀντιβουκολῆσαι. Nev. ἀμύνασθαι, Flor. ἀνταμύνασθαι, uterque peius. Deinceps εὑρήσει Aug. ἀττικὰς χιλίας εὑρήσεις Nev. in recta persona habet. Flor. χρυσίου τάλαντα ἑκατὸν εὑρήσεις. Mihi μυρίας vitiosum videtur propter Nevel. scripturam, nisi talentum voluit auctor significare. Tunc vero χιλίας erit mutandum. εὑρεῖν dicitur res vel persona δραχμὰς χιλίας ἀττικὰς, quae pretio drachmarum totidem venditur. Ceterum narratio Codicis Aug. duabus vulgatis longe praestat.

Ad Fab. XXIX. Integrior haec multo quam utraque

antea vulgata; elegantior tamen Neveletiana quam Florentina.

Ad Fab. XXX. Ad verbum convenit vulgata, nisi quod Codex dabat *ἂν περισωθείη:* et *τις* post *εἷς δὲ* omisit.

καὶ σὺ τὰς χεῖρας κίνει. Vulgata habet *καὶ χεῖρα κίνει*, ut Suidas v. *Αὐτός τι νῦν δρῶν εἶτα τοὺς θεοὺς κάλει.*

Ad Fab. XXX. *Μεσοπόλιος* Nev. edidit, deinde *ἡ μὲν μία νεᾶνις, ἡ δὲ ἄλλη πρ.* E nostra scriptura facilius exeunt choliambi, quos e vulgata elicuit Bentley:

Ἀνὴρ μεσοπόλιος δύ' ἐρωμένας εἶχεν,
ὧν ἡ μὲν ἦν νεᾶνις, ἡ δὲ πρεσβῦτις.

Eiusdem Babrii versus hos posuit Suidas:

Τῶν οὖν τριχῶν ἑκάστοθ' ἡ μὲν ἀκμαίη
ἔτιλλεν ἃς εὕρισκε λευκανθιζούσας.

νεωτέρῳ αὐτῆς. Ita Aug. atque ita scribi voluit Neveletus pro *νεωτέραν* vulgato. In Aug. copula *καὶ* post *διετέλει* inseritur, structura vitiata: itaque ibidem est *περιῃρεῖτο.* Male etiam vulgo *πρὸς αὐτὸν* legebatur.

ἀπέσπα, καὶ οὕτω. Vulgata *ἐπέσπασεν· οὕτω.* Coray *ἀπέσπα* dedit. Deinceps *παρατιλλόμενον* malim. Simplex habet vulgata, et *φαλακρότερον.* In Palatino quinto additur: *καὶ ὄνειδος ἁπάντων*, quae ipsa verba habet exemplum Stephani, quod posuit Coray. Ignatii tetrastichon hoc est:

Ἐρωμένας δύ' εἶχεν ἀνὴρ μιξόθριξ,
χρόνῳ διενηνοχυίας πάντη καὶ τρόπῳ·
ἡ μὲν μελαίνας, ἡ δὲ λευκὰς ἔκφερον·
ἐξ ὧν ψιλωθεὶς πᾶσιν ὡράθη γέλως.

Codicis Florentini fragmentum plane discrepans posuit Furia p. 67.

Ad Fab. XXXII. Codicis *ἀπὸ τῶν* correxi e Nev. ubi deinceps est *γινόμενος — κατὰ τὸν N. ποτ. — δράκοντα κατ' αὐτοῦ διαιρούμενον.* Coray *αἰωρούμενον* dedit. In Aug. erat male *περικείμενον.* Denique Nev. *ὑπο-*

δεξάμενος omisit. Flor. pro lupo leonem nominavit: cum qua convenit Hudsoniana.

Ad Fab. XXXIII. Vulgo nominatur ἀνὴρ vel ἄνθρωπός τις ἀποδημήσας, et narratio tota re et verbis valde discrepat in peius. Epimythium etiam minus aptum adiicitur. In extrema narratione vulgo est: ἰδοὺ ἡ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα. In Flor. vero: Ἰδοὺ Ῥόδος καὶ ἀποπήδησον. In nostra narratione vereor ut postrema sana sint.

Ad Fab. XXXIV. Convenit Neveletiana, ubi in epimythio est ῥαδίως — ἅπερ τελέσαι. In nostra malim ἀποδώσεις. Ceterum ἵνα — ἀπαιτήσωσι dictum pro ὥστε ἀπαιτῆσαι monuit Coray.

Ad Fab. XXXV. Convenit Neveletiana, in paucis verbis discrepans, ubi addita συνεσθίων ἦν αὐτῷ, quae reddidit etiam Flor. probo, et in nostra male omissa puto. Initio Codex φιλίας dabat. Ceterum pluribus in locis Aristoteles dictum memorat de homine infido proverbio iactatum, et Problem. 34, 7. quaerit: διὰ τί ἐκ τοῦ στόματος καὶ θερμὸν καὶ ψυχρὸν πνέουσι. Illud graece ἀασμὸς, hoc φυσασμὸς dicitur.

Ad Fab. XXXVI. προσενεγκεῖν. Ita Neveletianae Codices ab Heusingero comparati, quos sequitur etiam Coray. Aug. προσεν. dabat.

Ad Fab. XXXVII. Ἀνὴρ πηρός. Neveletus edidit ἀνὴρ προσεθισθεὶς et in titulo posuit Ἀνὴρ μάντις. Verum coniecit Heusinger. Ad verbum convenit Florentina, praeterquam quod illa ἀμφαγνοῶν habet, τινὸς autem post τοιούτου omisit. Ceterum Lessingius in annotatione ad h. l. coniecit, vocabulum κυνὸς in λύκου mutandum: alioqui caecus non poterat affirmare, animal esse incommodum gregi ovium.

Ad Fab. XXXVIII. Nusquam extat haec fabula. Verba ἀνασπᾶν μὴ δυνάμενος pertinent ad αὐχένα. Significant ζεῦγλαι temoni et iugo affixae haerentia lora, qui-

bus iugum alligatur temoni. Conf. Apollonii Rhodii Arg. 3, 1317.

Fabula XXXIX. naturam hirundinis hominibus consociatae reddere voluit, multoque probabilius facit, quam vulgata a Neveleto. Scilicet haec docere voluisse videtur praeterea, cur aves ceterae lini pastae semine lineis retibus capiantur. Contra fabula gemina repetita a Dione Chrysost. Or. 12. et 72. (Coray p. 217.) caussam voluit indicare, cur noctuam reliquae aves conspectam *θαυμάζειν* dicantur. Conf. dicta ad Aristotelis hist. anim. 9, 2. p. 6. Ceterum Codicis *συλλάμβονται* correxi.

Fabulae XL. narratio de Thale originem dedisse videtur. Convenit ad verbum fere exemplum Neveleti, ubi epimythium rectius habet *παραδόξως ἀλαζονευομένους*. Ita etiam Florentinum, pauca verba varians.

Fabula XLI. convenit cum Neveletiana, quae verba quaedam vitiose scripta habet, ut Florentina, ubi est *τῶν ἀρνίων ἓν λαβομένη*. In epimythio utrumque exemplum *κλέπτην* simpliciter nominat. *Τὰ κυνῶν* dentes interpretatur Neveletus, addita coniectura *τάχα νοῦν σοι προσοίσω*. Alia tentavit Ernesti.

Fabula XLII. verbis praestat utrique vulgato exemplo, sed illa, *ἐν ἑνί μου τῶν ἀμπελώνων* (Codex *ἀμπέλων* dabat) *θησαυρὸς ἀπόκειται* minus habent, probabilitatis, quam in vulgata haec: *ὑμεῖς δ' ἅπερ ἐν τῇ ἀμπέλῳ μοὶ κέκρυπται ζητήσαντες εὑρήσετε πάντα*, vel, ut est in Flor. *ἅπερ μοι ὑπάρχει ἐν τῷ ἀμπελῶνι, εὑρίσκετε πάντα*. Deinceps Flor. *λαβόντες δικέλλας ὕννας τε* dat, ubi exemplum aliud ab Heusingero positum peius habet *δικέλλας καὶ ἀξίνας*.

Ad Fab. XLIII. *ἀμελῶς ἅλλεσθαι*. Exempla vulgata *ἵνα πηδήσωσι παρευθὺς κάτω*, vel *συγκατέλθωμεν εἰς τὸ φρέαρ*. In nostro malim *καθάλλεσθαι*. Post *τῆς λίμνης* exemplum no. 147. rectius addit *ἐν ᾗ κατῴκουν*.

Fab. XLIV. miris modis variata in exemplis quinque, quae si invicem comparaveris, nostram fere omnium elegantissimam verbis iudicabis; in aliis tamen plus poetici coloris superesse videtur. Hudsonianum cum Florentino in eo convenit, ut altera vice anguilla ranis constituatur regina; qua spreta, hydra (Neveletianum *hydrum* nominat) substituitur. Pro *ἀναδύναντες* Reiske malebat *ἀναδῦντες*.

Fab. XLV. Florentinae inscriptio habet *Βόες καὶ ἅμαξα*. Quae convenit narrationi Hudsonianae, ubi *βοηλάτης* plaustrum stridulum alloquitur.

Fabulam XLVI. memoravit olim Plutarchus Praecept. Conjug. et Themistius Or. 16., Babrii fragmentum hoc posuit Suidas:

Βορέῃ λέγουσιν ἡλίῳ τε τοιαύτην
ἔριν γενέσθαι, πότερος ἀνδρὸς ἀγροίκου
ὁδοιποροῦντος τὴν σισύρναν ἐκδύσει.

Post *ἀποκαμὼν* in Codice videntur excidisse verba *ὁ Βορέας*. Ad verbum *παρέδωκε* videtur aliquid deesse.

Fab. XLVII. *μεθ' ἧς καὶ ἀλλοτρίας παῖς*. Nev. *μεθ' ἧς καὶ ὁ παῖς*. Flor. *ὁ παῖς αὐτῆς*. Hudson. *μετὰ τοῦ ἑαυτῆς παιδός*. Quid momenti scriptor inesse voluerit in puero alieno, equidem non intelligo. Deinceps *δὲ* inserui ex Hudson. et Flor. *προσιούσης* male Aug. habet.

ἐπειδὴ προέστη αὐτό. Ita Codex. Dedi quod res postulabat et sequens *μῶ*, quod verbum, in quo vertitur sensus fabulae, velut in cardine, mire variarunt et obscurarunt Editiones. Neveletiana enim plane omisit, Hudsoniana cum *τὰ σπλάγχνα μου:* ubi sequens membrum sensu caret. Italus Editor demum lacunam animadvertit, comparato Ignatii tetrasticho hoc: *Βοὸς φαγὼν παῖς εἰς ἑορτὴν ἔγκατα, ἤμει κεκληγὼς, σπλάγχνα, μῆτερ, ἐκχέω. Ἡ δ' αὖ γελῶσα, Μὴ φοβοῦ, τέκνον, ἔφη, τῶν σῶν γὰρ οὐδὲν, ἀλλ' ἐμεῖς ἀλλοτρίων.* Confirmat Aug. codicis scripturam et epimythii antiquitatem locus Plu-

tarchi a Coraio positus de aere alieno vitando §. 8. *καὶ τὸν τῶν γυπῶν λόγον ἄκουσον· ἐμοῦντος οὖν ἑτέρου καὶ λέγοντος τὰ σπλάγχνα ἐκβάλλειν, ἕτερος παρὼν, καὶ τί δεινόν; εἶπεν· οὐ γὰρ τὰ σεαυτοῦ σπλάγχνα ἐκβάλλεις, ἀλλὰ τοῦ νεκροῦ, ὃν ἄρτι ἐσπαράττομεν.*

Fab. XLVIII. convenit cum Neveletiana, qua comparata expunxi barbariem, quae nescio quo pacto irrepserat in Aug. librum, veluti *ἀπ᾽ αὐτῆς τὴν αἰτίαν*: deinde *συνελήφθεν· διὰ ἀπ᾽ ἐκείνου*: postea *ὅταν οὐδὲν — ἐστί.* Superest difficultas in verbis *ἀφείλατο ἀπ᾽ αὐτῆς τὴν φωνὴν*, quae Neveletiana omisit, et in ipso avis nomine, quod quidam cum Camerario *merulam*, alii *bubonem* interpretantur, Coray *mergum*, antiquis Graecis *αἴθυιαν*, recentioribus *βουταμαρίαν* vel *βουταναρίαν*, a verbo *βουτῶ*, i. e. *δύεσθαι*, Gallis *plongeon* vocatum. In quo vereor ne vir egregius a vero aberraverit. Mergus enim cavea inclusus, voluptatis e cantu percipiendae causa, et quidem nocturno, mihi quidem alienus videtur a natura aquatilium avium, quae vix liberae vagantes per aquas educari possunt: cantum vero nemo facile desiderabit. Quaerenda igitur alia avis videtur noctu vel vagans vel cantillans. Coturnicem coniecit Lessingius. Codex Aug. alter, ubi numeratur fabula 24. scriptum habet *Βοτάλην ἀπό τινος θυρίδος κρεμαμένην εἶδεν νυκτερίς.*

Fabula XLIX. apud Neveletum inscribitur *Βουκόλος.* Ita etiam in libro Florentino qui fabulam interpretamentis variis inquinavit. Parisiensis liber *Βουθρέμμων τὶς ἐν ὄρει ταῦρον ἀπώλεσεν* ab initio habet, aliamque rationem secutus quaedam poeticae dictionis vestigia servasse videtur. Syntipae liber inscriptam habet *Ποιμὴν, Πρόβατον καὶ Λέων.*

Fabulam L. e choliambis Babrii memoravit Julianus Epist. 59. ubi *τὸν μῦθον ἀκήκοας τὸν Χαβρίου* esse in

Codice Mediceo testatur Fabricius in Luce Evangel. p. 528. Fragmenta inde haec excerpsit Suidas:

Γαλῆ ποτ' ἀνδρὸς εὐπρεποῦς ἐρασθεῖσα,
. . . . . . τόνδε, τῆς βαθυστρώτου
καταβᾶσα κοίτης, ἐπεδίωκεν ἡ νύμφη.

Ἰδὼν δ' ἐκεῖνος, (ἐν μέρει γὰρ ἡλώκει,)
γαμεῖν ἔμελλεν.

Gregorii Naz., Ignatii et Tzetzae imitationes posuit cum Hudsono Coray. Addo locum Nicetae Choniatae p. 387. ed. Paris.: *τῇ δὲ γαλῇ παρομοιωθεὶς, ἣν διήλεγξε τὸ στέμμα παρεισπεσόν.* nisi is aliam fabulam respexit. Ignatii versiculus, *παρῆν δὲ Κύπρις εἰς ἑορτὴν τοῦ γάμου,* poeticam dispositionem Babrii significare videtur. Fabulam memorans Zenobius Prov. Centur. II, 93. mustelam crocota induit, et Suidas v. *Γαλῆ χιτών.* Unde patet, intelligi mustelam, de qua Ovidius Metam. IX, 323. *flava comas.* Cf. collecta a Perizonio ad Aeliani var. hist. 14, 4. Ceterum ineptissime imitatus est Babrianam fabulam auctor nescio quis prosae, quam e Codice Divionensi descriptam publicavit Gudius, in versus senarios, si diis placet, redegit Burmannus in Appendice I. Fabularum Phaedri no. III. ubi Jupiter vulpem, humanam in speciem mutatam, pellicem fecisse suam dicitur, quae cum scarabaeum prorepentem vidisset, ingenium ferinum prodidit, dehinc a Joue expulsa.

Fab. LI. convenit ad verbum cum Florentina 42. passim hinc emendanda, ipsa tamen inde opem mutuata, quam passim praeceperat doctissimus Coray. In extremo is cum Reiskio *καταλλαγὰς* maluit. Altera Florentina congruit cum Neveleto, plus tamen poetici coloris servasse videtur. Illam tetrastichon Ignatii expressit. Codex Aug. dabat *ὅπερ ἂν ἐξίῃ* — *αὐτὸ πατάξῃ* — *αὐτοῦ διαλλαγείη.* Ceterum verba *εὐλαβηθεὶς δὲ ὕστερον παρεκάλει, ὅπως διαλλαγῇ αὐτῷ,* causam continent obscu-

